C. E. RAPPAPORT
LIBRI RARI
ROMA

EX LIBRIS

Κ. Σπ. ΣΤΑΙΚΟΣ

Κοινωφελες Ιδρυμα
Αλεξανδρος Σ. Ωνασης

Εκ Της
Βιβλιοθηκης

Musaeus. Classic Authors

Μουσαίου ποιημάτιον τὰ καθ' Ἡρὼ
καὶ Λέανδρον.
Ὀρφέως ἀργοναυτικά.
Τοῦ αὐτοῦ ὕμνοι.
Ὀρφεὺς περὶ λίθων.

*Musæi opusculum de Herone
& Leandro.
Orphei argonautica.
Eiusdem hymni.
Orpheus de lapidibus.*

AL DVS

Εἰς μουσαῖον ἐπιτάφιον.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ φαληρικὸν οὖδας
Μουσαῖον φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

In Musæum epitaphium.

Eumolpi carum filium tenet phalericum solum
Musæum corruptum corpore sub hoc tumulo.

¶Sed cum quatuor fuisse Musæos à Suda tradatur, unus'ne ex ijs, an alius quispiam hic noster fuerit, quærendum.

# ΑΛΔΟΣ Ο ΡΩΜΑΙΟΣ ΤΟΙΣ ΣΠΟΥΔΑΙΟΙΣ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Μουσαῖον τὸν παλαιότατον ποιητὴν ἠθέλησα προοιμιάζειν τῷ τε Ἀριστοτέλει, καὶ τῶν σοφῶν τοῖς ἑτέροις αὐτίκα δι' ἐμοῦ ἐντυπωσομένοις τῷ τε εἶναι αὐτὸν ἥδιστον ἆσμα καὶ λογιώτατον καὶ μάλιστα ὡς ἂν εἰδῆτε τὰ παρὰ τούτου τῷ Οὐϊδίῳ μετενεχθέντα δαιμονίως τῷ ὄντι καὶ εὐφυῶς, καὶ ὅπως αὐτὸν ἐμιμήσατο ἐν ταῖς Ἡροῦς καὶ Λεάνδρου πρὸς ἀλλήλους ἐπιστολαῖς, λαμβάνετ' οὖν τουτὶ τὸ βιβλίδιον, οὐ προῖκα μέντοι, δότε δὲ τὰ χρήματα, ἵν' ἔχω, καὶ αὐτὸς πορίζεσθαι ὑμῖν πάσας τὰς τῶν Ἑλλήνων ἀρίστας βίβλους, καὶ ὄντως εἰ δώσετε, δώσω. ὅτι οὐκ ἔχω ἐντυποῦν ἄνευ χρημάτων πολλῶν. πιστεύετε τοῖς οὐκ ἀκινδύνως ἐμπεφραθεῖσι καὶ πάντων μάλιστα οὑτωσὶ λέγοντι Δημοσθένει, Δεῖ δὴ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων, οὐ μὴν φιλοχρημάτως ἔχων, μᾶλλον δὲ τοῖς τοιούτοις ἀπεχθανόμενος ταῦτά γε εἴρηκα, καίτοι χρημάτων ἄνευ οὐ δυνατὸν ἀπορεῖν ὧν ὑμεῖς μὲν ὑπερβαλόντως ἐφίεσθε, αὐτοὶ δὲ πολλῷ μόχθῳ καὶ δαπάνῃ, πεποιηκότες διατελοῦμεν. Ἔρρωσθε.

Νηὸς ἔην ἀνὰ σηκὸν, ἀπείριτον ἦχι θυηλὰς
Κυπρογενεῖ ἀείδοντες ἐπήσιον, αὐτὰρ ὁ τόξον
Οὖλος ἔρως βάσταξε, διοιστεῦσαι δὲ μεμηνὼς,
Ὀξεῖα δινδίλλεσκε, πικρὸν δ' ἴθυνεν ὀϊστὸν
Μητρὸς ἐπ' ὀφρύτειραν, ἐπισπέρχων δ' ἐπελάσθη
Ἤπατι Λειάνδροιο, κόρης φρένας αἶψα περήσας,
Ἀμφότεραι δ' ἐπόθευ, αὐτῷ πεφορημέναι οἴστρῳ,
Ἀλλήλων ἀπόνηντο, γάμων δὲ συνίστορα λύχνον
Λαθριδίων θήκαντο, σιδήρεον δὲ λελογχὼς,
Αἷμα, πολυπλάγκτης προὔδωκε ποθεῦντας ἀέλλαις.
Καί σφι φάος μὲν ἄμβροτεν, ἄμβροτε δὲ καὶ φιλοτήτων.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΜΟΥΣΑΙΟΝ.

Καὶ φρένας ἀδροῆς ἀγαθεῶν ἔλε· δὴ γὰρ ἀοιδαῖς,
Στεῦτο λαχεῖν ἄρης μοῦνος ἄποινα πόνων.
Τοῦτο κλύων νεμέσησ', ὅτ' ἐοῖς ἐπενήνοθεν ἔργοις
Ἀχλὺς ἄδην, ἄφρων τ' οὐ χάδεν ὕβριν ἔρως.
Μουσαίῳ δ' ἐπέτελλεν· ὁ δ' ἐκλήϊζε ποθεινῶν
Οἶστρον ἀποδρέψαι παρθενίης κάλυκας.
Αἰνείσθω δὲ μικρῆσιν ἐπιστίξας σελίδεσσιν,
Οὐ δ' ὀλίγοις παίζων χερσὶν ἔοργεν ἔρως.

MARCI MVSVRI CRETENSIS.

T emplum erat in Sesto, porriciebant ubi libamenta
V eneri festinantes quotannis, at arcum
V afer amor gestabat, iaculariq; gestiens
A cute circunspectabat, amaramq; contorsit sagittam
M atris in sacerdotissam, properansq; inhæsit
E pati Leādri, cū puellæ præcordia statim trāsfodisset,
V triq; autem Cupidinis eodem perculsi furore,
S ui potiti sunt, nuptiarumq; consciam lucernam
C landestinarum posuere, ferreum autem illa sortita
S anguinem, multiuagis prodidit amantis procellis.
E t eos luce priuauit, priuauit etiam lusibus venereis.

## EIVSDEM IN MVSAEVM.

E tiam præcordia inuidia deorū tetigit. nā carminibus
I actauit se consecutum Mars præmia laborum.
I d audiens indignatus est ꝙ sua obumbrauerūt opa
Tenebræ satis, Martisq; non tulit iniuriam amor.
M usæoq; mandauit. ille uero canebat amantium
Furorem decerpendi uirginitatis florem.
L audetur ergo paruis panxisse marginibus
Quæ paruis ludens manibus patrauit Cupido.

# ΜΟΥΣΑΙΟΥ ΤΑ ΚΑΘ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ.

εἰ πὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων.
καὶ νύχιον πλωτῆρα θαλασσοπό-
ρων ὑμεναίων.
καὶ γάμον ἀχλυόεντα τὸν, οὐκ ἴδεν ἄφθιτος ἠώς.
Καὶ σηστὸν καὶ ἄβυδον ὅπῃ γάμος ἔννυχος Ἡροῦς.
Νηχόμενόν τε Λέανδρον ὁμοῦ, καὶ λύχνον ἀκούω
Λύχνον ἀπαγγέλλοντα διακτορίην ἀφροδίτης.
Ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην.
Λύχνον ἔρωτος ἄγαλμα τὸν, ὤφελεν αἰθέριος ζεὺς,
Ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων.
Καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων.
Ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων.
Ἀγγελίην δ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων
Πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
Ἀλλ' ἄγε μοι μέλποντι μίαν ξυνάειδε τελευτὴν
Λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο Λεάνδρου.
Σηστὸς ἔην καὶ ἄβυδος ἐναντίον ἐγγύθι πόντου.
Γείτονές εἰσι πόληες, ἔρως δ' ἀνὰ τόξα τιταίνων,
Ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστόν,
Ἠΐθεον φλέξας καὶ παρθένον. οὔνομα δ' αὐτῶν
Ἱμερόεις τε Λέανδρος ἔην, καὶ παρθένος Ἡρώ,
Ἡ μὲν, σηστὸν ἔναιεν. ὁ δὲ, πτολίεθρον ἀβύδου,
Ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω
Ἴκελοι ἀλλήλοισι. σὺ δ' εἴποτε κεῖθι περήσεις.
Δίζεό μοι τινὰ πύργον, ὅπῃ ποτὲ σηστιὰς Ἡρώ,
Ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ
Δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν ἀβύδου.
Εἰσέτι που κλαίοντα μόρον, καὶ ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος ἀβυδόθι δώματα ναίων
Ἡροῦς εἰς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;

LEANDRO.

Ic Dea occultorum testem lucernã amorum.
d Et nocturnum natatorem per mare uectarum nuptiarum.
Et coitũ tenebrosum, quẽ nõ uidit immortalis aurora.
Et Sestum & Abydũ, ubi nuptiæ nocturnæ Herũs.
Natantemq; Leandrum simul & lucernam audio.
Lucernam annuntiantem nuntium Veneris,
Herũs nocte nubẽtis nuptias ornantem nuntiũ. (piter
Lucernã amoris simulacrũ, quam debuit ætherius Iup
Nocturnũ post officium ducere ad consortiũ astrorũ.
Ac ipsam appellasse sponsas ornantem stellã amorũ.
Quoniam fuit ministra amatoriarum curarum,
Nuntiumq; seruauit in somnium nuptiarum.
Ante q̃ molestus flatus flaret inimicus uentus.
Sed eia mihi canenti unum conane finem
Lucernæ extinctæ, & pereuntis Leandri.
Sestus erat & Abydus eregione, propè mare
Vicinæ sunt urbes. Cupido autem arcum tendens,
Ambabus urbibus unam commisit sagittam,
Iuuenem urens & uirginem. nomen uero eorum
Suauisq; Leander erat, & uirgo Herô.
Hæc quidem Sestũ hitabat, ille uero oppidũ Abydi
Ambarum urbium perpulchræ stellæ ambo.
Similes inter se. tu uero siquando illac transibis,
Quære mihi quãdã turrim. ubi quõdã Sestias Herò
Stabat lucernam habens, & dux erat Leandro.
Quære & antiquæ marisonum fretum Abydi
Adhuc deflens mortem & Amorem Leandri.
Verum unde Leander in Abydo domos habitans
Herũs ad amorẽ uenit, amore uero deuixit & ipsam?

Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἦν ἱέρεια· γάμων δ' ἀδίδακτος ἐοῦσα,
Πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ.
Ἄλλη κύπρις ἄνασσα, σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
Οὐδέποτ' ἀγρομένῃσιν συνωμίλησε γυναιξίν.
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης
Μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων.
Καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες.
Ἀλλ' αἰεὶ κυθέρειαν ἱλασκομένη ἀφροδίτην
Πολλάκι καὶ τὸν ἔρωτα παρηγορέεσκε θυηλαῖς,
Μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
Δὴ γὰρ κυπριδίη πανδήμιος ἦλθεν ἑορτή.
Τὴν ἀνὰ σηστὸν ἄγουσιν ἀδώνιδι καὶ κυθερείῃ
Πασσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι
Ὅσσοι ναιετάασκον ἁλιστεφέων σφυρὰ νήσων.
Οἱ μὲν ἀφ' αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ κύπρου.
Οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι κυθήρων.
Οὐ λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων
Οὐδὲ περικτιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
Οὐ φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς ἀβύδου.
Οὐδέ τις ἠιθέων φιλοπάρθενος. ἦ γὰρ ἐκεῖνοι
Αἰὲν ὁμαρτήσαντες ὅπῃ φάτις ἐστὶν ἑορτῆς,
Οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλάς,
Ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
Ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος Ἡρώ,
Μαρμαρυγὴν χαρίεσσαν ἀπαστράπτουσα προσώπου
Οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
Ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον. ἦ τάχα φαίης
Ἡρῶς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι,

H erò gratiosa generosum sanguinem sortita,
V eneris erat sacerdos, cum nuptiarũ uero ĩperita eẽt,
T urrim à parẽtibus apud uicinum habitabat mare.
A ltera Venus regina, castitate uero & pudore
N unq̃ collectarum commercio usa est mulierum.
N eq; tripudium gratiarum audiuit iuuenilis ætatis
L iuorem euitans inuidum mulierum,
N am ob pulchritudinem inuidæ sunt fœminæ.
S ed semper Cytheream placans Venerem
S æpe etiam Cupidinem conciliabat libamentis,
M atre cum cœlesti flammeam tremens pharetram.
S ed neq; sic euitauit ignitas sagittas.
I amq; uenereum populare uenit festum.
Q uod Sesti celebrant Adonidi & Veneri.
C aternatimq; festinabant ad sacrum diem ire
Q uotquot habitabãt mari circũdatarũ extrema ĩsularũ
H i quidẽ ab Hæmonia, hi uero maritima à Cypro.
N eq; mulier ulla remansit in oppidis cytherorum.
N on libani odoriferi in summitatibus saltans.
N eq; accolarum quisquam deerat tunc festi,
N on Phrygiæ incola, non uicinæ ciuis Abydi.
N eq; ullus iuuenis amator uirginum. certe enim illi
S emper secuti, ubi fama est festi,
N on tantum immortalium afferre festinãt sacrificia,
Q uantũ aggregatarum ob pulchritudines uirginum.
V erum deæ per ædem incessit uirgo Herò
S plendorem gratum emittens faciei
Q ualis alba genas oriens luna.
S ummæ uero niuearum rubebant circuli genarũ,
V t rosa ex thecis bicolor. certe diceres
H erũ ex membris rosarum pratum apparere.

Χ ροιὴ γὰρ μελέων ἐρυθαίνετο· νισομένης δὲ
Κ αὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης.
Π ολλαὶ δ' ἐκ μελέων χάριτες ῥέον· οἱ δὲ παλαιοὶ
Τ ρεῖς χάριτας ψεύσαντο πεφυκέναι· εἷς δέ τις Ἡροῦς
Ο φθαλμὸς γελόων ἑκατὸν χαρίτεσσι τεθήλει.
Α τρεκέως ἱέρειαν ἐπάξιον εὕρετο κύπρις.
Ω ς ἡ μὲν περὶ πολλὸν ἀριστεύσασα γυναικῶν,
Κ ύπριδος ἀρήτειρα νέη διεφαίνετο κύπρις.
Δ ύσατο δ' ἠιθέων ἁπαλὰς φρένας· οὐδέ τις ἀνδρῶν
Η εν, ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
Η δ' ἄρα καλλιθέμεθλον ὅπῃ κατὰ νηὸν ἀλᾶτο·
Ε σπόμενον νόον εἶχε, καὶ ὄμματα, καὶ φρένας ἀνδρῶν.
Κ αί τις ἐν ἠιθέοισιν ἐθαύμασε· καὶ φάτο μῦθον.
Κ αὶ σπάρτης ἐπέβην. λακεδαίμονος ἔδρακον ἄστυ,
Η χι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων.
Τ οίην δ' οὔπω ὄπωπα νέην κεδνήν θ' ἁπαλήν τε·
Κ αὶ τάχα κύπρις ἔχει χαρίτων μίαν ὁπλοτεράων
Π απταίνων ἐμόγησα· κόρον δ' οὐχ εὗρον ὀπωπῆς.
Α ὐτίκα τεθναίην λεχέων ἐπιβήμενος Ἡροῦς.
Ο ὐκ ἂν ἐγὼ κατ' ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
Η μετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.
Ε ἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
Τ οίην μοι κυθέρεια νέην παράκοιτιν ὀπάσσαις.
Τ οῖα μὲν ἠιθέων τις ἐφώνεεν, ἄλλοθεν ἄλλος
Ε λκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.
Α ἰνοπαθὲς Λείανδρε· σὺ δ' ὡς ἴδες εὐκλέα κούρην,
Ο ὐκ ἔθελες κρυφίοισι καταψύχειν φρένα κέντροις.
Α λλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀιστοῖς
Ο ὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος Ἡροῦς.
Σ ὺν βλεφάρων δ' ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων
Κ αὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
Κ άλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς,

C olore enim membrorũ rubebat. euntis uero (puellæ
E tiã rosæ cãdidã indutæ tunicã sub talis splẽdebant
M ultæ uero ex membris gratiæ fluebant. sed antiqui
T res gratias mentiti sunt esse. alteruter uero Herũs
O culus ridens centum gratijs pullulabat.
P rofecto sacerdotem dignam nacta est Venus.
S ic ea quidem plurimum antecellens fœminas
V eneris sacerdotissã noua apparebat Venus.
S ubijt autem iuuenũ teneras mẽtes, neq; ullus uir
E rat, qui non affectaret habere coniugem Heronem;
I lla aũt benefundatã quacunq; per ædẽ uagabatur,
S equentẽ mentẽ hẽbat et oculos et præcordia uirorũ.
A tq; aliqs ĩter iuuenes admiratus est, et dixit uerbũ.
E t Sparten accessi. Lacedæmonis uidi urbem,
V bi laborem & certamen audimus pulchritudinũ.
T alem autẽ nondũ uidi puellã, prudentẽq; tenerãq;.
F orte Venus habet gratiarum unam iuuenum.
I ntuens defessus sum. satietatẽ aũt nõ iueni aspiciẽdi.
I lico moriar cubilia ubi conscenderim Herũs.
N on ego in cælo cuperem deus esse
N ostram uxorem habens domi Heró.
S i autem mihi non licet tuã sacerdotẽ tractare,
T alem mihi Cytherea puellã uxorem præbeas,
T alia iuuenum quisq; locutus est. undiq; alius
V ulnus cælans insaniuit pulchritudine puellæ.
G rauia passe Leander, tu aũt ut uidisti ĩclytã puellã,
N olebas occultis consumere mentẽ stimulis,
S ed ardentibus domitus inopinato sagittis,
N olebas uiuere perpulchræ expers Heronis
S imul in oculorum radijs crescebat fax amorum
E t cor feruebat inuicti ignis impetu.
P ulchritudo enim celebris immaculatæ fœminæ

Ο ξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ.
Ο φθαλμὸς δ' ὁδός ἐστιν. ἀπ' ὀφθαλμοῖο βολάων
Ε λκος ὀλισθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
Ε ἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
Ε τρεμε μὲν κραδίην, αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
Θ άμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ.
Θ αρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
Η ρέμα ποσσὶν ἔβαινε καὶ ἀντίον ἵστατο κούρης.
Λ οξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιζεν ὀπωπὰς
Ν εύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
Α ὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου
Χ αῖρεν ἐπ' ἀγλαΐῃσιν. ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
Π ολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπὴν
Ν εύμασι λαθριδίοισιν ὑπαγγελλουσα Λεάνδρῳ.
Κ αὶ πάλιν αὐτέκλινεν. ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
Ο ττι πόθον ξυνέηκε καὶ οὐκ ἀπεσείσατο κούρη.
Ο φρα μὲν οὖν Λεάνδρος ἐδίζετο λάθριον ὥρην
Φ έγγος ἀναστείλασα κατήιεν ἐς δύσιν ἠώς.
Ε κ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστὴρ
Α ὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
Ω ς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην.
Η ρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
Β υσσόθεν ἐστονάχιζεν ἀθέσφατον. ἡ δὲ σιωπῇ
Ο ἷά τε χωομένη ῥοδέην ἐξείρυσε χεῖρα.
Ω ς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης
Θ αρσαλέως παλάμῃ πολυδαίδαλον εἷλκε χιτῶνα
Ε σχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ
Ο κναλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος Ἡρὼ
Ο ἷά περ οὐκ ἐθέλουσα, τόσην δ' ἀνενείκατο φωνὴν.
Θ ηλυτέροις ἐπέεσσιν ἀπειλείουσα Λεάνδρῳ.
Ξ εῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;

A cutior hominibus est ueloce sagitta.
O culus uero uia est. ab oculi ictibus
V ulnus delabitur, & in præcordia uiri uiat.
C epit aũt ipsum tunc stupor, ĩpudẽtia, tremor, pudor.
T remuit qdẽ corde, pudor uero ipsum tenebat captũ.
O bstupuit uero pulchritudinẽ optimã, amor uero ade
A udacter ãt ob amorẽ ĩpudẽtiã affectãs (mit pudorẽ.
T acite pedibus incedebat, & contra stetit puellam.
O blique uero intuens dolosos torquebat oculos.
N utibus mutis deuians mentem puellæ.
I psa uero ut sensit amorẽ dolosum Leandri,
G auisa est ob gratias suas. tacite uero & ipsa
S æpe gratam suam deiecit faciem
N utibus occultis innuens Leandro,
E t rursus extulit. ille uero intus animo gaudebat,
Q uod amorem sensit, & non renuit puella.
D um igitur Leander quærebat occultam horam,
L ucem contrahens descendit ad occasum aurora.
E regione autem apparuit umbrosa uespere stella.
S ed ipse audacter adibat prope puellam,
V t uidit atratas insurgentes tenebras,
T acite quidem stringens roseos digitos puellæ,
E x imo suspirabat uehementer. illa uero silentio
T anq̃ irascens roseam retraxit manum.
V t uero amatæ sensit instabiles nutus puellæ,
A udacter manu uariam traxit uestem.
V ltima uenerandi ducens ad penetralia templi.
P igre autem pedibus sequebatur uirgo Hero
T anq̃ nolens, talemq; emisit uocem.
F œmineis uerbis minans Leandro.
H ospes, quid insanis? qd me infelix uirginem trahis?

Ἀλλὴν δεῦρο κέλευθον· ἐμὸν δ' ἀπόλειπε χιτῶνα.
Μῆνιν ἐμῶν ἀλέεινε πολυκτεάνων γενετήρων.
Κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
Παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
Τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ Λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήια παρθενικάων.
Καὶ γὰρ ὅτ' ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
Κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαὶ
Παρθενικῆς δ' εὔοδμον ἐΰχροον αὐχένα κύσσας,
Τοῖον μῦθον ἔειπε πόθῳ βεβολημένος οἴστρῳ.
Κύπρι φίλη μετὰ κύπριν, ἀθηναίη μετ' ἀθήνην.
Οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξίν.
Ἀλλά σε θυγατέρεσσι διὸς κρονίωνος ἐΐσκω.
Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ.
Γαστὴρ ἥ σ' ἐλόχευσε μακαρτάτη. ἀλλὰ λιτάων
Ἡμετέρων ἐπάκουε· πόθου δ' οἴκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια μετέρχεο κύπριδος ἔργα.
Δεῦρ' ἴθι μυστιπόλευε γαμήλια θεσμὰ θεαίνης.
Παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν ἀφροδίτῃ.
Παρθενικαῖς οὐ κύπρις ἰαίνεται. ἢν δ' ἐθελήσῃς
Θεσμὰ θεῆς ἐρόεντα, καὶ ὄργια πιστὰ δαῆναι,
Ἔστι γάμος καὶ λέκτρα· σὺ δ' εἰ φιλέεις κυθέρειαν
Θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων
Σὸν δ' ἱκέτην κόμισαι, καὶ ἢν ἐθέλῃς παρακοίτην
Τόν σοι ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
Ὡς θρασὺν ἡρακλῆα θοὸς χρυσόρραπις ἑρμῆς,
Θητεύειν ἐκόμιζεν ἰαρδανίην ποτὶ νύμφην.
Σοὶ δέ με κύπρις ἔπεμψε, καὶ οὐ σοφὸς ἤγαγεν ἑρμῆς
Παρθένος οὔ σε λέληθεν ἀπ' ἀρκαδίης Ἀταλάντη.
Ἥ ποτε μειλανίωνος ἐρασσαμένου φύγεν εὐνὴν

A lia ito uia.meamq; dimitte uestem.
I ram meorum euita locupletum parentum.
V eneris non te decet deæ sacerdotem solicitare.
V irginis ad lectum difficile est ire.
T alia minatæ est conuenientia uirginibus.
F œminearũ aũt Leander ubi audiuit furorẽ minarũ,
S ensit persuasarum signa uirginum.
E tenim cum iuuenibus minantur fœminæ,
V enerearum consuetudinũ per se nuntiæ sunt minæ,
V irginis aũt bene olens boni coloris collũ osculatus
T ale uerbum ait amoris ictus stimulo.
V enus altera post Venerem, Minerua post Mineruam.
N on enim terrestribus æqualem uoco te mulieribus,
S ed te filiabus Iouis saturnij assimulo.
B eatus qui te plãtauit, & beata quæ peperit mater.
V enter, qui te enixus est felicissimus. sed preces
N ostras exaudi, amorisq; miserescæ necessitatis.
V eneris, ut sacerdos exerce Veneris opera.
H uc ades initiare nuptialibus legibus deæ.
V irginem non decet administrare Veneri.
V irginibus Venus non gaudet. si uero uolueris
Instituta deæ desyderãda, et cærimonias fidas discere.
S unt nuptiæ & lecti. tu autem si amas Venerem.
M ulcentium mentem ama suauem legem amorum.
T uumq; seruum me accipe, & si uolueris coniugem
Q uem tibi Cupido uenatus est suis sagittis assecutus.
S icut audacem Herculem auri uirga Mercurius.
S eruitum duxit Iardanen ad puellam. i. Omphalen,
T ibi uero me Venus misit & non sapiens attulit Mer-
V irgo non te latet ex arcadia Atalanta. (curius
Q uæ olim Milanionis amantis fugit lectum.

Οὗτος ὁ Λεάνδροιο διάπλοος, οὗτος ὁ πόντου
Πορθμὸς, ὁ μὴ μούνῳ τῷ φιλέοντι βαρύς.
Ταῦθ' Ἡροῦς τὰ πάροιθε ποταύλια, τοῦτο τὸ πύργου
Λείψανον, ὁ προδότης ὧδ' ἐπέκειτο λύχνος.
Κοινὸς δ' ἀμφοτέρους ὅδ' ἔχει τάφος, ἐσέτι κείνῳ
Κείνῳ τῷ φθονερῷ μεμφομένους ἀνέμῳ.



Antipatri.

H ic est Leandri tranatus. hoc est ponti
Fretum non soli amanti graue.
H æc Herûs antiquæ domalia. hæ turris
Reliquiæ. proditrix hic pendebat lucerna.
C ommuneq; ambos hoc habet sepulchrũ, nunc quoq;
De illo inuido conquerentes uento.

Clamabat tumidis audax Leander in undis,
Parcite dum propero, mergite dum redeo.



Παρθενίης ἀλέγουσα. χολωσαμένης δ' ἀφροδίτης,
Τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
Πείθεο καὶ σὺ φίλη, μὴ κύπριδι μῆνιν ἐγείρῃς.
Ὣς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης
Θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
Παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπήν,
Αἰδοῖ ἐρυθιόωσαν ὑποκλέπτουσα παρειήν
Καὶ χθονὸς ἔξεεν ἄκρον ἐπ' ἴχνεσιν, αἰδομένη δὲ
Πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνα.
Πειθοῦς γὰρ τάδε πάντα προάγγελα, παρθενικῆς δὲ
Πειθομένης ποτὶ λέκτρον. ὑπόσχεσίς ἐστι σιωπή.
Ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων.
Θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρώ,
Κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
Ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὁμίχλην
Τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσσι προσώποις
Οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
Ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνήν,
Αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου.
Ξεῖνε. τεοῖς ἐπέεσσι τάχ' ἂν καὶ πέτρον ὀρίναις,
Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
Ὤμοι τίς σ' ἐκόμισεν ἐμὴν ἐς πατρίδα γαῖαν;
Ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο. πῶς γὰρ ἀλήτης
Ξεῖνος ἐὼν καὶ ἄπιστος ἐμοὶ φιλότητι μιγείης;
Ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι,
Οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν. ἢν δ' ἐθελήσῃς
Ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
Οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν ἀφροδίτην.
Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος. ἐν δὲ σιωπῇ
Ἔργον, ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.

Virginitatem curans. Irata autem Venere,
Quem prius non amauit, in corde posuit toto
Persuadere & tu cura, ne Veneri iram excites.
Sic fatus persuasit recusantis mentem puellae,
Animum amoriperis errare faciens uerbis.
Virgo autem muta in terram fixit aspectum,
Pudore rubefactam abscondens genam.
Et terrae rasit summitatem in uestigijs. cũ pudore aũt
Saepe circa humeros suam contraxit uestem.
Persuasionis enim haec omnia praenũtia. uirginis aũt
Persuasae ad lectum, promissio est silentium.
Iam & suauamarum suscepit stimulum amorum.
Vrebatur autem cor dulci igne uirgo Hero,
Pulchritudineq; suauis stupescebat Leandri.
Dũ igitur ad terrã habebat nox. s. inclinatã calignẽ
Tunc & Leander amore furente uultu
Non laborabat uidens tenerum collum uirginis.
Serò uero Leandro suauem emisit uocem,
Verecundiae madidum ruborem stillans à facie,
Hospes tuis uerbis forsan & cautem moueres,
Quis te uariorum uerborum docuit uias?
Hei mihi quis te duxit meam ad patriam terram?
Haec aũt omnia frustra locutus es. quomodo n. uagus
Hospes cum sis, & infidus meo amori miscearis?
Manifeste non possumus nuptijs legitimis coniungi.
Non enim meis parentibus placet. si autem uoles
Vt hospes profugus mea in patria manere,
Non potes tenebrosam abscondere uenerem.
Lingua enim hominum amica conuitij. in silentio aũt
Opus, quod perficit aliquis, in triuijs audit.

Ε ἰπὲ δὲ μὴ κρύψῃς τεὸν οὔνομα καὶ σέο πάτρην·
Ο ὐ γὰρ ἐμόν σε λέληθεν· ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ.
Π ύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης,
Ωι ἐνὶ ναίουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ
Σ ηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας
Γ είτονα πόντον ἔχω στυγεραῖς βουλῆσι τοκήων.
Ο ὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες· οὐδὲ χορεῖαι
Ηι θέων παρέασιν· ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
Ε ξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
Ω ς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειὴν
Ε μπαλιν αἰδομένη σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λ είανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ,
Φ ράζετο πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
Α νδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει,
Κ αὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται· οἷσι δ' ἀνάσσει
Α ὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἔπλετο βροτοῖσιν
Α ὐτὸς καὶ ποθέοντι τότε χραίσμησε Λεάνδρῳ·
Ο ψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον·
Π αρθένε σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω
Ε ἰ πυρὶ παφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ·
Ο ὐ τρομέω βαρὺ χεῦμα τεὴν μετανεύμενος εὐνήν,
Ο ὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης
Α λλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
Ν ήξομαι ἑλλήσποντον ἀγάρροον· οὐχ ἕκαθεν γὰρ
Α ντία σεῖο πόληος ἔχω πτολίεθρον ἀβύδου.
Μ οῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
Ε κ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
Ε σσομαι ὁλκὰς ἔρωτος ἔχων σέθεν ἀστέρα λύχνον.
Κ αί μιν ὀπιπεύων οὐκ ὄψομαι ὀψὲ δύοντα βοώτην,
Ο ὐ θρασὺν ὠρίωνα, καὶ ἄβροχον ὁλκὸν ἁμάξης

D ic uero ne celes tuum nomen, & tuam patriam.
N on enim meum te lateat. mihi nomen inclytũ Hero
T urris autem circunsona, mea domus altissima,
Q ua inhabitans cum ancilla quadam sola
S estiensem ante urbem supra profundas undas.
V icinum mare habeo tristis consilijs parentum.
N eq; me prope uicanæ sunt coætaneæ neq; choreæ
I uuenum adsunt. semper autem nocte & die
E x mari uentoso insonat auribus sonitus.
S ic fata roseam sub ueste celabat genam.
R ursus pudore affecta sua autem increpabat dicta.
L eander autem amoris percussus acuto stimulo
C ogitabat quomodo amoris exerceret certamen.
V irum enim uarius consilijs amor sagittis domat.
E t rursus uiri uulnus mediatur. qbus aũt dominatur
I pse omnidomitor consultor est mortalibus.
I pse etiam amanti auxiliatus est Leandro.
T andem autem ingemens excogitatum dixit uerbum.
V irgo tuum pp amorem, etiam asperã undã transibo
S i igni ferueat & innauigabilis erit aqua.
N on timeo grauem undam tuum adiens cubile,
N on fremitum resonantem grauisoni maris.
S ed semper per noctem portatus madidus maritus
N auigabo hellespontum ualde fluentẽ. non longe enim
C ontra tuam urbem habeo oppidum Abydi.
T antum mihi unam lucernam ab excelsa tua turri
E regione ostende, ut intuens
S im nauis amoris habens tuum stellam lychnum.
A tq; ipsum aspiciens ne uideam occidentem booten,
N ec asperũ orionem, ac imadidam tractionẽ currus

Π αρθένος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην
Α λλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας
Μ ή μιν ἀποσβέσωσι, καὶ αὐτίκα θυμὸν ὀλέσσω,
Λ ύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Ε ἰ ἐτεὸν δὲ θέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
Ο ὔνομά μοι Λέανδρος ἐϋστεφάνου πόσις Ἡροῦς.
Ὣ ς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι.
Κ αὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων,
Λ ύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάσσειν.
Η μὲν φάος τανύειν· ὁ δὲ κύματα μακρὰ περῆσαι,
Π αννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων
Α λλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ.
Η μὲν ἑὸν ποτὶ πύργον· ὁ δ' ὀρφναίην ἀνὰ νύκτα
Μ ή τι παραπλάζοιτο βαλὼν σημήϊα πύργου
Π λῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου.
Π αννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους
Π ολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
Η δη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη
Α νδράσιν ὕπνον ἄγουσα καὶ οὐ ποθέοντι Λεάνδρῳ.
Α λλὰ πολυφλοίσβοιο παρ' ἠϊόνεσσι θαλάσσης
Α γγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων
Μ αρτυρίην λύχνοιο πολυκλαύτοιο δοκεύων
Ε ὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
Ὣ ς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην,
Η ρὼ λύχνον ἔφαινεν· ἀναπτομένοιο δὲ λύχνου
Θ υμὸν ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου.
Λ ύχνῳ καιομένῳ συνεκαίετο. πὰρ δὲ θαλάσσης
Μ αινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
Ε τρεμε μὲν τὸ πρῶτον. ἔπειτα δὲ θάρσος ἀείρας
Τ οίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις.

P atriæ obuiæ ad dulcem portum uenirem.
S ed atra caue perflantes uentos
N e ipsam extinguant, & statim animam perdam,
L ychnum meæ uitæ luciferum ducem.
S i uere autem uis meum nomen & tu scire,
N omen mihi Leander benecomptæ coniux Herus.
S ic quidem clandestinis nuptijs componebant misceri.
E t nocturnam annunciam, & nuntium nuptiarum,
L ucernæ testimonijs pacti sunt seruare.
I lla qdem lucē extendere. hic aūt undas lōgas trāsire,
P ernoctationes autem executi uigilum nuptiarum
À se inuiti separati sunt necessitate.
H æc quidē suā ad turrim. hic aūt obscurā p noctem
N e quid erraret iacens signa turris
Nauigabat profundi fundamēti ad latū populū Abydi.
Totāq; noctē cōiugū clādestina desyderātes certamina
S æpe optarunt uenire cubiculum ornantem noctem.
I am atrata cucurrit noctis caligo
V iris somnum afferens, & non amanti Leandro.
S ed multifremi apud litora maris
N untium expectabat lucentium nuptiarum.
T estimonium lucernæ lugubris expectans.
L ectiq; clandestini procul speculantem nuntium.
V t uero uidit nigræ obscuram noctis caliginem,
H ero lucernam ostendit. accensa uero lucerna
A nimum cupido exussit festinantis Leandri.
L ucerna ardente, coardebat. apud uero mare
I nsanarum undarum multisonum fremitum audiēs
T remebat quidem primū. postea aūt audaciā excitās
T alibus alloquebatur consolans mentem uerbis.

Δ εινὸς Ἔρως καὶ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ε στὶν ὕδωρ· τὸ δ' Ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
Λ άζεο πῦρ κραδίη. μὴ δείδιθι νήχυτον ὕδωρ·
Δ εῦρό μοι εἰς φιλότητα· τί δὴ ῥοθίων ἀλεγίζεις;
Α γνώσσεις ὅτι Κύπρις ἀπόσπορός ἐστι θαλάσσης;
Κ αὶ κρατέει πόντοιο καὶ ἡμετέρων ὀδυνάων;
Ὣ ς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον·
Α μφοτέραις παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ·
Ἠ ιόνος δ' ἐξῶρτο· δέμας δ' ἔρριψε θαλάσσῃ·
Λ αμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου
Α ὐτὸς ἐὼν ἐρέτης, αὐτόστολος, αὐτόματος νηῦς.
Η ρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου
Λ ευγαλέῃς αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης
Φ άρεϊ πολλάκι λύχνον ἐπέσκεπεν· εἰσόκε Σηστοῦ
Π ολλὰ καμὼν Λέανδρος ἔβη ποτὶ ναύλοχον ἀκτήν,
Κ αί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν· ἐκ δὲ θυράων
Ν υμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
Α φροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης
Ἤ γαγε νυμφοκόμοιο μυχοὺς ἐπὶ παρθενεῶνος·
Κ αὶ χρόα πάντα κάθηρε· δέμας δ' ἔχρισεν ἐλαίῳ·
Ε ὐόδμῳ ῥοδέῳ· καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν·
Ε ἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
Ν υμφίον ἀμφιχυθεῖσα φιλήνορας ἔννεπε μύθους
Ν υμφίε πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος·
Ν υμφίε πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ,
Ο δμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης·
Δ εῦρο τεοὺς ἱδρῶτας ἐμοῖς ἐνὶ κάτθεο κόλποις·
Ὣ ς ἡ μὲν τάδ' ἔειπεν· ὁ δ' αὐτίκα λύσατο μίτρην·
Κ αὶ θεσμῶν ἐπέβησαν ἀριστονόου Κυθερείης·
Ἦ ν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων

G rauis amor & mare implacabile. sed maris
E st aqua. uerum amoris me urit intestinus ignis.
A ssume ignem cor, ne time effusam aquam.
A des mihi in amorem. cur fluctus curas?
I gnoras q Venus nata est è mari?
E t dominatur ponto, & nostris doloribus?
S ic fatus membra amabilia exuit uestem,
A mbabus manibus, suoq; astrinxit capiti.
L itoreq; exiluit. corpusq; deiecat in mare.
S plendentemq; festinabat semp aduersus lucernam
I pse Remex, ipse classis, ipse sibi nauis.
H erò autem alta lucifera super turri
P ernitiosis auris undecunq; spiraret uentus.
V este sæpe lucernam tegebat. donec Sesti
M ultum fatigatus Leander iuit ad portuosum litus,
E t ipsum suam ad turrim adduxit. ex ianuis uero
S ponsum anhelantem complexa silentio,
S pumeas ex capillis guttas adhuc stillantem maris.
Duxit spōsā ornātis ad penetralia uirginalis cubiculi.
E t corpus totum abstersit, corpusq; unxit oleo
B ene olenti roseo. & mare olentem extinxit odorē.
A dhuc autem anhelantem alte stratis in lectis
S ponsum circunfusa blanda emisit uerba.
S ponse multū laborasti, quæ nō passus est spōsus alius.
S ponse multum laborasti. satis tibi est salsa aqua,
F œtorq; piscosus frementis maris.
H uc tuos sudores meis impone sinibus.
S ic illa hæc locuta est. ille uero statim soluit zonam.
E t leges inierunt beneuolæ Veneris. (mnis.
Erāt nuptiæ, sed sine choreis. erat lectus, sed sine hy-

Ο ὐ ζυγίην Ἥρην τις ἐπευφήμησεν ἀοιδὸς,
Ο ὐ δαΐδων ἤστραψε σέλας θαλαμηπόλον εὐνὴν,
Ο ὐδὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
Ο ὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ,
Α λλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις
Σ ιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὀμίχλη,
Κ αὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
Ν ὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐδέ ποτ' ἠὼς
Ν υμφίον εἶδε Λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
Ν ήχετο δ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον Ἀβύδου
Ε ννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.
Η ρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας,
Π αρθένος ἠματίη, νυχίη γυνὴ, ἀμφότεροι δὲ,
Π ολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ὣ ς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
Κ ρυπταδίῃ τέρποντο μετ' ἀλλήλων κυθερείῃ.
Α λλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐδ' ἐπὶ δηρὸν
Α λλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων,
Α λλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη
Φ ρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας
Β ένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης,
Χ ειμέριοι πνείοντες ἐπιστυφέλιζον ἀῆται
Λ αίλαπι μαστίζοντες ὅλην ἅλα· τυπτομένης δὲ,
Η δη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσῳ
Χ ειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
Α λλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης
Κ αρτερόθυμε Λέανδρε· διακτορίη δέ σε πύργου,
Η θάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
Μ αινομένης σ' ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
Ν ηλειὴς καὶ ἄπιστος· ὄφελλε δὲ δύσμορος Ἡρὼ,

Non coniugium sacrum quisquam laudauit poeta,
Non tedarum illuminabat lux cubicularium lectum,
Neq; peragili quisquam insiluit chorea.
Non hymenæum cantauit pater, et ueneranda mater,
Sed lectum sternens perficientibus nuptias in horis
Silentiū thalamū fixit, sponsum uero ornauit caligo,
Et nuptiæ erant longe à canendis hymenæis.
Nox q̄dē erat illis nuptiarū ornatrix, nunquā aurora
Sponsum uidit Leandrum ualde notis in lectis.
Nauigabat ăt e regione positi rursus ad populū Abydi
Nocturnos insatiabilis adhuc spirans hymenæos.
Ast Hero longa induta ueste suos latens parentes,
Virgo diurna, nocturna mulier. utriq; autem
Sæpe optarunt descendere ad occasum auroram.
Sic hi quidem amoris abscondentes uim,
Occulta delectabantur inter se uenere.
Sed paruum uixerunt in tempus, neq; diu
Inuicem potiti sunt multiuagis nuptijs.
Sed quando pruinosæ uenit hyemis hora
Horrendas commouens multarū uortiginum procellas
Profunditatesq; ĩfirmas et madida fundamenta maris,
Hyemales spirantes uerberabant uenti
Nimbo percutientes totum mare. uapulante autem
Iam nauem nigram fregit bifida terra
Hyemale & infidum effugiens mare nauta.
Sed non hyemalis te timor coercebat maris
Fortanime Leander. nuntius sed te turris,
Consuetam significans lucem nuptiarum,
Furentis te impulit securum maris,
Crudelis & perfidus. debebat autem infelix Hero

Χ είματος ἱσταμένοιο μένειν ἀπάνευθε Λεάνδρου
Μ ηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων·
Α λλὰ πόθος καὶ μοῖρα βιήσατο· θελγομένη δὲ,
Μ οιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν ἐρώτων·
Ν ὺξ ἦν. εὖτε μάλιστα βαρυπνείουσιν ἀῆται
Χ ειμερίαις πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
Α θρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης·
Δ ὴ τότε Λείανδρος ποθέων ἐθάμονος ἐλπίδι νύμφης,
Δ υσκελάδων πεφόρητο θαλασσαίων ὑγραίων
Η δη κύματι κῦμα κυλίνδετο· σύγχυτο δ' ὕδωρ.
Α ἰθέρι μίσγετο πόντος· ἀνέγρετο πάντοθεν ἠχὴ
Μ αρναμένων ἀνέμων· ζεφύρῳ δ' ἀντέπνεεν εὖρος
Κ αὶ νότος ἐς βορέην μεγάλας ἐφίηκεν ἀπειλάς·
Κ αὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης·
Α ἰνοπαθὴς δὲ Λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
Π ολλάκι μὲν λιτάνευσε θαλασσαίην Ἀφροδίτην·
Π ολλάκι δ' αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης.
Α τθίδος οὐ Βορέην ἀμνήμονα κάλλιπε νύμφης·
Α λλά οἱ οὔτις ἄρηγεν· Ἔρως δ' οὐκ ἤρκεσε μοίρας
Π άντοθι δ' ἀγρομένοιο δυσάντεϊ κύματος ὁρμῇ
Τ υπτόμενος πεφόρητο· ποδῶν δέ οἱ ὤκλασεν ὁρμὴ,
Κ αὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων
Π ολλὴ δ' αὐτομάτη χύσις ὕδατος ἔρρεε λαιμῷ,
Κ αὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης,
Κ αὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης
Κ αὶ ψυχὴν καὶ ἔρωτα πολυκλαύτοιο Λεάνδρου·
Ε ἰσέτι δηθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς,
Ι στατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις
Η λυθε δ' ἠριγένεια, καὶ οὐκ ἴδε νυμφίον Ἡρώ·
Π άντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης

H yeme instante manere sine Leandro
N on amplius ardendens indicem stellam lectorum.
S ed amor & fatum cogebat. allecta autem
P aretrum ostendebat, non amplius facem amorum.
N ox erat, cum maxime spirantes uentos
H yemalibus flatibus iaculantes uenti
C ollecti irruunt in litus maris.
T unc Leander consuetæ spe sponsæ,
V alde sonantium ferebatur marinarum nuptiarū.
I ā ab unda unda uoluebatur. accumulabatur uero aq̄.
A etheri miscebatur mare. concitata est undiq; terra.
P ugnātibus uētis. Zephyro aūt contra spirabat eurus
E t notus in boream magnas immisit minas.
E t fragor fuit ineuitabilis ualdi fremens maris.
G rauia autem passus Leander íplacabilibus litoribus.
S æpe quidem precabatur æquoream Venerem.
S æpe autem & ipsum regem Neptunum maris.
A tthææ non boream immemorē relinquit nymphæ:
S ed ei nullus auxiliatus est. amor aūt nō coercuit fata.
V ndiq; autem accumulati male obuio fluctus impetu
C ontritus ferebatur. pedum autem eius defecit uigor.
E t uis fuit immobilis inquietarum manuum.
M ulta autem spontanea effusio fluebat in guttur.
E t potum inutilem indomabilis potauit maris.
E t iam lucernam infidam extinxit amarus uentus,
E t animam & amorem deflendi Leandri.
C um adhuc autem dirigeret iter uigilibus oculis
S tabat fluctuans miseris curis.
V enit autem aurora, & non uidit sponsum Heró.
C ircunquaq; oculum dirigebat in lata dorsa maris

Ε ἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην.
Λ ύχνου σβεννυμένοιο, παρὰ κρηπῖδα δὲ πύργου.
Θ ρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην
Δ αιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνα
Ρ οιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου.
Κ αδ δ' Ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ,
Α λλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

ΤΕΛΟΣ.

S icubi uideret errantem suum maritum.
L ucerna extincta apud fundamentum turris.
D ilaniatum scopulis ut uidit mortuum maritum
V ariam scindens circa pectora tunicam
C um strepitu præceps ab alta deturbata est turri.
A tq; Hero mortua est ob mortuum maritum,
S uiq; potiti sunt & in ultima pernicie.

F I N I S.

# ΟΡΦΕΩΣ ΑΡΓΟΝΑΥΤΙΚΑ.

Ἄναξ πύθωνος μεδέων ἑκατηβόλε μάντι.
ὦ ὃς λάχες ἠλιβάτου κορυφῆς παρνασίδα πέτρην.
σὴν ἀρετὴν ὑμνῶ, σὺ δέ μοι κλέος ἐσθλὸν ὀπάσσαις.
πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς ἐτυμηγόρον αὐδὴν
ὄφρα πολυσπερέεσσι βροτοῖς λιγύφωνον ἀοιδὴν
ἠπύσω μούσης ἐφετμαῖς καὶ πηκτίδι πυκνῇ.
νῦν γάρ σοι λυρεργὲ φίλον μέλος ἀείδοντα.
Θυμὸς ἐποτρύνει λέξαι, τὰ πρὶν οὔποτε πρόσθεν.
ἔφρασ' ὅταν βάκχοιο καὶ ἀπόλλωνος ἄνακτος.
κέντρῳ ἐλαυνόμενος, φρικώδεα κῆλ' ἐπίφασκον.
θνητοῖς ἀνθρώποισιν ἄκη. μετὰ δ' ὄργια μύσταις.
ἀρχαίου μὲν πρῶτα χάους ἀμέγαρτον ἀνάγκην.
καὶ κρόνον ὃς ἐλόχευσεν ἀπειρεσίοισιν ὑπ' ὁλκοῖς
αἰθέρα καὶ διφυῆ περιωπέα κυδρὸν ἔρωτα.
νυκτὸς ἀειγνήτης πατέρα κλυτόν. ὃν ῥα φάνητα
ὁπλότεροι κικλήσκουσι βροτοί. πρῶτος γὰρ ἐφάνθη
βριμοῦς τ' εὐδυνάτοιο γονὰς ἠδ' ἔργ' ἀΐδηλα
γηγάντων. οἳ λυγρὸν ἀπ' οὐρανοῦ ἐστάξαντο,
σπέρμα γονῆς τὸ πρόσθεν, ὅθεν γένος ἐξεγένοντο
θνητῶν. οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι
θητείαν τε ζηνὸς, ὀρεσιδρόμου τε λατρείαν
μητρός. ἅ τ' ἐν κυβέλοις ὄρεσιν μητίσατο κούρην.
φερσεφόνην περὶ πατρὸς ἀμαιμακέτου κρονίωνος

μύχῃ τε καὶ ἡρακλῆος περίφημον ἄμυξιν·
ὄργιά τ' ἰδαίων κορυβάντων τ' ἄπλετον ἰσχύν·
δήμητρός τε πλάνην· καὶ φερσεφόνης μέγα πένθος
θεσμοφόρος θ' ὡς ἦν· ἠδ' ἀγλαὰ δῶρα καβείρων·
χρησμούς τ' ἀῤῥήτους νυκτὸς περὶ βάκχου ἄνακτος
λῆμνόν τε ζαθέην· ἠδ' εἰναλίην σαμοθρᾴκην
αἰπεινήν τε κύπρον καὶ ἀδωναίην ἀφροδίτην
ὄργια πραξιδίκης· καὶ ὀρείης νυκτὸς ἀθήνης.
θρήνους τ' αἰγυπτίων, καὶ ὀσίριδος ἱερὰ χύτλα
ἀμφὶ δὲ μαντείης ἐδάης πολυπείρονας ὅρμους,
θηρῶν οἰωνῶν τε, καὶ ἣ σπλάγχνων θέσις ἦεν
ἠδ' ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς
ψυχαὶ ἐφημερίων, ὕπνῳ βεβολημέναι ἦτορ·
σημείων τεράτων λύσεις, ἄστρων τε πορείας.
ἁγνοπόλον τε καθαρμὸν, ἐπιχθονίοις μέγ' ὄνειαρ·
ἱλασμούς τε θεῶν, φθιμένων τ' ἐπινήχυτα δῶρα.
ἄλλα δέ σοι κατέλεξ' ἅπερ εἴσιδον ἠδ' ἐνόησα.
ταίναρον ἡνίκ' ἔβην σκοτίην ὁδὸν, ἄϊδος εἴσω
ἡμετέρῃ πίσυνος κιθάρῃ, δι' ἔρωτ' ἀλόχοιο
ἠδ' ὅσον αἰγυπτίων ἱερὸν λόγον ἐξελόχευσα.
μέμφιν ἐς ἠγαθέην πελάσας ἱεράς τε πόληας.
ἄπιδος ἃς πέρι νεῖλος ἀγάῤῥοος ἐστεφάνωται.
πάντα μάλ' ἀτρεκέως ἀπ' ἐμῶν στέρνων δεδάηκας.
νῦν δ' ἐπεὶ ἀβδόφοιτος ἀπέπταρ' αἴθριος οἶστρος,
ἡμέτερον δέμας ἐκπρολιπὼν· εἰς οὐρανὸν αἰπὺν,
παύσῃ ἀφ' ἡμετέρης ἐκ ψυχῆς ἃ πρὶν ἔκαμον.
ὥς ποτε πιερίην λειβήθρων τ' ἄκρα κάρηνα
λισσόμενός μ' ἐπίκουρον ἐυνόστοιο γενέσθαι.
ποντοπόρῳ σὺν νηὶ πρὸς ἄξεινα φῦλ' ἀνθρώπων,
ἥρωας οἳ ἀφνειὸν καὶ ἀτάσθαλον, ᾧ ἐπὶ κρατεῖν

αἰήτης, υἱὸς φαεσιμβρότου ἠελίοιο.
θέσφατα γὰρ πελίας δειδίατο μή οἱ ὄπισθεν
χειρὸς ὑπ' αἰσονίδαο καθέλῃ βασιλήιον ἀρχήν.
καί οἱ ὑπὸ πραπίδεσσι δόλον ῥίβον ἠπεροπεύει·
ἄνωγε τὸν ἐκ κόλχων, χρύσειον κῶας ἐνεῖκαι,
θεσσαλίην εὔπωλον. ὁ δ' ὡς κλῦεν ἵκανο μον αὐδὴν
χεῖρας ἐπαντείνας, ἐπεκέκλετο πότνιαν ἥρην
τὴν δὲ τὸν ἐκ μακάρων περιώσια κυδαίνεσκεν:
ἡ δέ, παρ' εὐχωλῇσιν ἐρέσσετο κηδομένη περ
ἔξοχα τὸν μερόπων ἠγάζετο καὶ φιλέεσκεν
δεξιοβίην ἥρωα περικλυτὸν αἴσονος υἱὰ
καί ῥα καλεσσαμένη ἐπετέλλετο φιηγενῇ
καὶ οἱ φηγινέην πρῶρον τεκτήνατο νῆα
ἣ καὶ ὑπ' εἰλατίνοις ἐρετμοῖς ἁλιμυρέα βένθη
πρώτη ὑπεξεπέρησε. ῥίβυς δ' ἤνυσε θαλάσσης.
ἀλλ' ὅτε δὴ συνάγειρεν ἀγακλειτοὺς βασιλῆας.
θρήκην ὅτ' εὔπωλον, ἐπήγετο δῖος ἰήσων
καί μ' ἐκίχανε κιθάρην πολυδαίδαλον ἐντύνοντα
ὄφρα κέ τοι μέλπων προχέω μελίγηρυν ἀοιδὴν
κηλήσω δέ τε θῆρας ἠδ' ἑρπετὰ καὶ πετεηνὰ
ἠνίκα δ' εἰς ἄντρον πολυήρατον εἰσεπέρησε
μείλιχον ἐκλασίων στέρνων ἀνενέγκατο φωνὴν
Ορφεῦ καλλιόπης τε καὶ οἰάγρου φίλε κοῦρε.
βιστονίῃ κικόνεσσι πολυρρήνεσσιν ἀνάσσων.
καί ῥ'· ἐπεὶ αἱμονίης ὄχθας πρώτιστον ἱκάνω.
στρυμονίης τε ῥοὰς ῥοδόπης τ' αἰπεινὰ πρὸς ἄγκη
εἰμὶ δ' ἐγὼ μινύαισι πανέξοχον αἷμα λελογχώς,
θεσσαλὸς αἰσονίδης. ξεῖνος δέ σοι εὔχομαι εἶναι.
ἀλλὰ φίλος πρόφρων μ' ὑποδέχνυσο, καὶ κλῦε μῦθον
μειλιχίαις ἀκοαῖς· καὶ λισσομένῳ ὑπάκουσον,

ἀξείνου πόντοιο μυχοὺς καὶ φάσιν ἐρυμνόν,
νηὶ σὺν ἀργώῃ πελάσαι. δεῖξαί τε θαλάσσης
παρθενίας ἀταρποὺς, ἀπείρατον ἡρώεσσιν.
οἵ ῥα τεὴν μίμνουσι χέλυν καὶ θέσκελον ὀμφήν.
ἐλπόμενοι ξυνὸν πελάγει ἐπαρηγόνα μόχθων.
οὐ γὰρ δὴ πλῶσαι πρὸς βάρβαρα φῦλα μέδονται
νόσφι σέθεν· καὶ γὰρ ῥα ποτὶ ζόφον ἠερόεντα.
νείατον εἰς κευθμῶνα λιπὼν εἰς πυθμένα γαίης,
μοῦνον ἀπ' ἀνθρώπων πελάσαι καὶ νόστον ἀναυρεῖν.
ὧν ἕνεκεν ζωήν τε δύην μινύαισιν ὀρέξαι.
τὸν μὲν ἐγὼ μύθοισιν ἀμειβόμενος προσέειπον
αἰσονίδη τί με ταῦτα παραιφάμενος ἐρεείνεις
ὄφρα κεν ἐς κόλχους μινύαις ἐπιήρανος ἔλθω.
νηὶ σὺν εὐσέλμῳ, πλώσας ἐπὶ οἴνοπα πόντον.
ἤδη γάρ μοι ἅλις καμάτων ἅλις ἔπλετο μόχθων
ὧν ἱκόμην ἐπὶ γαῖαν ἀπείριτον ἠδὲ πόληας.
αἰγύπτῳ λιβύῃ τε, βροτοῖς ἀναθέσφατα φαίνων.
καί με ἀλητείης τε καὶ ἐξ οἴστρου ἐσάωσε
μήτηρ ἡμετέρη· καί ῥ' εἰς δόμον ἤγαγεν ἄλλον.
ὄφρα τέλος θανάτοιο κίχω, μετὰ γήραϊ λυγρῷ.
ἀλλ' οὐκ ἔσθ' ὑπαλύξαι ἃ δὴ πεπρωμένα κεῖται
μοιρῶν ἀντιστήσειν ἐπείγομαι, οὐ γὰρ ἄτιμοι
ἱκεσίου ζηνὸς κοῦραι λιταί. ἵξομαι ἤδη.
ἁπλοτέροις βασιλεῦσι καὶ ἡμιθέοις ἐνάριθμος.
καὶ τότε δὴ λίπον ἄντρον ἐπήρατον. ἠδ' ἐπέρησα
αὐτῇ σὺν φόρμιγγι· καὶ εἰς μινύας ἀφίκανον
λαιψηροῖσι πόδεσσιν, ὑπὲρ παγασηΐδας ἀκτάς.
ἔνθα δ' ἀριστήων μινυῶν λόχος ἠγερέθοντο
κεινὸν δὴ ψαμάθου ὁμάδῳ. ῥηγμῖνα τ' ἀναύρου
ἀλλ' ὅτε δή μ' ἐνόησαν ἀταρπιτὸν ἐξανύοντα

ἀσπασίως ἤγρεθεν· ἐγήθει δ' ἦτορ ἑκάστῳ.
αὐτὰρ ἐμυθεόμην ἀριστέων ἄνδρας ἀρίστους
πρῶτα δὲ εἶδα βίην ἡρακλῆος θείοιο
ὃν τέκεν ἀλκμήνη ζηνὶ κρονίωνι μιγεῖσα
ἦμος ὅτε τριαύην μὲν ἐλείπετο σείριος αἴγλην,
ἠέλιος· δολιχὴ δ' ἐπεμαίετο πάντοθεν ὄρφνη
τίφυν τ' ἀγνιάδην δολιχῆς ἰθύντορα νηός.
θεσπιείων δ' ὅγε τῆμος ἐφ' ὕδασι τελμισσοῖο
ἄγχουρος λαοῖσι φαεινὸν ῥέεθρον ἀμείβειν
ὃς περὶ μὲν βύκτουσι καὶ ὀργήεσσιν ἀέλλαις
νῆα κατιθύνειν δέδαεν πολυμήτιδι τέχνῃ
κάστορά θ' ἱππόδαμον πολυδεύκεά τ' εἰσενόησα
καὶ μόψον τιταρῆθεν, ὃν ἄμπυκι νυμφευθεῖσα.
χαονίην ὑποφητὸν ἀρηγονὶς ἐξελόχευσε
πηλέα τ' αἰακίδην, αἰγίνης ἄλκιμον υἱόν.
ὃς δολόπεσσιν ἄνασσεν ἐπὶ φθίῃ ἐριβώλῳ.
ἐριαύην δ' ἑρμείαο κλυτὴν εἰσέδρακον γένναν.
αἰθαλίδην, ὃν ἔτικτε περικλυτὴ εὐπολέμεια.
μυρμιδόνος θυγάτηρ ἀλόχη ἐνὶ πεπονίεσιν.
ἠδ' ἔρυτον καὶ καλὸν ἐχίονα, τούς ποτε νύμφη
λαοθόη μενετοῖο παρευνηθεῖς ἐλόχευσε.
κυλλήνης μεδέων χρυσόρραπις ἀργειφόντης.
αὐτίκα δ' ἀκτορίδης καὶ βυφάγος ἦλθε κόρωνος
ἴφικλος αὖ φυλάκης δῖον γένος ἀντετόρησε.
βύτης τ' αἰνειάδης, ἴκελος χρυσάορι φοίβῳ.
κάνθος δ' εὐβοίηθεν ἀβαντιάδης ἐπέρησεν.
ὃν δὴ μοῖρ' ἐδάμασσε· τέλος δ' ἐπέθηκεν ἀνάγκη.
φθίσθαι ὑπὲρ λιβύης· νόστου δ' οἴκοιο λαθέσθαι.
ἄλκωνος δὲ φάληρος ἀπ' αἰσήποιο ῥοάων
ἤλυθεν· ὃς γύρτωνος ἀλιστεφὲς ἔκτισεν ἄστυ

ἴφιτος αὖ μετὰ τοῖσιν ἐφέσπετο ναυβόλου υἱός.
φωκίδος ὅς ῥ' ἔναιε καὶ εὐπύργοιο ταναγρῆς·
λαοδόκος ταλαὸς καὶ ἀρήιος υἱοὶ ἀμώμοι,
ἦλθον ἀβαντιάδαι περιώνυμοι, οὓς τέκε πηρώ·
ἰφιδάμας δ' ἀλεῦ παῖς ἤλυθε· πέμψε γὰρ αὐτὸν
ἴφθιμος γενέτης· τεγέης ὅρια προλιπόντα·
ἤλυθε δ' ἐργῖνος βράγχου πολύπυρον ἄρουραν
ἐκ προλιπὼν, καὶ τύρσιν ἐρεμνῆς μιλήτοιο·
ἔνθα ῥοαὶ κλύζουσι πολυπλανέος μαιάνδρου.
ἐν δὲ περικλύμενος νηλήιος εἰσαφίκανεν·
ἀγχόθι πελλήνης τε καὶ εὐύδροιο λιπαίζη·
ἄστυ λιπὼν ἀφνειὸν ὀρχομενοῦ τε κολώνας·
ἐκ δὲ λιπὼν καλυδῶνα θοὸς μελέαγρος ἔβαινεν·
οἰνέος ὅν ῥ' ἐλόχευσε καὶ ἀλθαίη ῥοδόπηχυς.
ἴφικλος αὖτ' ἐπέρησε λιπὼν ἀρακνίδα λίμνην·
σύγγονος ἀλθαίης· περὶ δ' αὖ τίεν ἔξοχα πάντων,
οὕνεκα δὴ μελέαγρον· ἰδ' ἄγλαα ἔργ' ἐδίδασκεν.
ἀστερίων δ' ἐπέρησε παῖς κλεινοῖο κομήτου·
πειρεσίην ὅς ἔναιεν ἐπ' ἀπιδανοῖο ῥεέθροις.
πηνειὸς μίσγων ξυνὸν ῥόον εἰς ἅλα πέμπει.
εὐρυδάμας δ' ἐπόρευσε λιπὼν βοιβηΐδα λίμνην.
ἀγχόθι πηνειοῖο καὶ εὐλάγγεος μελιβοίης.
Αὐτὰρ ἔπει τ' ἐλάτοιο παῖς πολύφημος ἵκανεν.
ὅσφιν ἐν ἠνορέῃσι μετέπρεπεν ἡρώεσιν.
υἱὸς καινῆος ἀφίκετο· τὸν ῥά τε φασὶ
μισγόμενον λαπίθαις ὑπὸ κενταύροισι δαμῆναι.
θεινόμενον πεύκῃσι τανυφλοίοις τ' ἐλάτῃσι·
καὶ οἱ ἀνατλῆναι καὶ ἀκαμπέα γούνα τ' ἐρεῖσαι.
ζωόν τ' ἐνθεμένοισι μολεῖν ὑπὸ κεύθεα γαίης.
ἄδμητος δ' ἀφίκανε φεραιόθεν, ᾧ ποτε παίαν

θνητῶν ὑπέδειξε· διός δ' ἤλασε μῆνιν·
οὕνεκά τοι κύκλωπας ἀμαιμακέτοισιν ὀϊστοῖς,
ἐν φθιτοῖσιν ἔτευξ' ἀσκληπιοῖο ἕνεκα λώβης.
ἤλυθε δ' ἀκτορίων ἴλυ παῖς ἀκτορίωνος.
φηχείην ὀπόεντα λιπὼν, σὺν δ' ἤλυθεν ἴδας. 7
λυγκεύς θ' ὃς μάλιστα δι' αἰθέρος ἠδὲ θαλάσσης
βένθεα· καὶ πλούτωνος ὑποχθονίοιο βέρεθρα,
μοῦνος ἀπ' ἀνθρώπων δηνοῖσιν ὀπώπειν ὄσσοις.
Αὐτὰρ ἐπεὶ τελαμὼν σωλφίαστο, τόν ῥ' ἐλόχευσεν
αἰακῷ ἀβρύτῳ κούρη κλυτὴ ἀσωποῖο
αἴγιν, ἐν κροκάλῃσιν ἁλιστεφέος σαλαμῖνος,
δὴ τότ' ἄβαντος παῖς νόθος ἤλυθε κρατερὸς ἴδμων
τόν ῥ' ὑποκυσαμένη τέκεν ἀπόλλωνι ἄνακτι,
ἀμβρόσιον παρὰ χεῦμα φερητιὰς ἀντιάνειρα.
τῷ καὶ μαντοσύνην ἔπορε καὶ τέσφατον ὀμφὴν
φοῖβος· ἵν' ἀνθρώποισιν ἀρηρότα μυθίζοιτο.
ἤλυθε δ' αὖ μετὰ τοῖσι μενοίτιος ἐξ ὀπόεντος,
σύγχορτος μινύαις· ἐπὶ δ' ἤλυθε δῖος ὀϊλεύς.
φλίας δ' ἐξίκανε περικλυτὸς, ὅν ποτε βάκχῳ
νύμφη ὑποκλινθεῖσα παρ' αἰσήποιο ῥοῇσι.
τίκτεν ἄμωμον ἔχοντα δέμας καὶ ἐπίφρονα μῆτιν
κηφεύς τ' ἀρκαδίη θέμεθ' ἡρώεσσι πελάσθη
ἀγκαῖον δ' αὖ ὅμιλον ἀπ' ἀρκαδίης πολυμήλου.
πέμψε πατὴρ γηραιὸς ἐπὶ πλόον ἀξείνοιο.
οὗτος δ' οὔποτε χλαῖναν ἐπὶ στιβαροῖς βάλεν ὤμοις
ἀλλ' ἀρκτυλάσιον στέρνοις ἀμπίσχετο δέρμα.
ναύπλιος αὖθ' ἵκανεν ἀμυμώνης φίλος υἱός.
ὃν τέκεν εὐνηθεῖσα περικλυτῷ ἐννοσιγαίῳ.
ἀγλαὸν ἠνορέην δέμας ἴκελον ἀθανάτοισι.
ταιναριεύς δ' εὔφημος ἔβη μελιάτιδος ἄκρης

ἧκε προλιπὼν αὐλῶνας, ἁλικλύστους τε θαλάσσας
ἀγκαῖος τ' ἔμολε πλευρώνιος, ὃς ῥα πορείας
οὐρανίας ἄστρων ἔδαη κύκλους τε πλανήτας.
δίζετο γὰρ τά τ' ἐόντα τά τ' ἐσσόμεν' ἀνθρώποισιν.
ἐν δὲ παλαιμόνιος λέρνου νόθος ἤλυθεν υἱός.
σίνετο δὲ σφυρὰ δοιὰ πόδας δ' οὐκ ἦεν ἀρηρώς.
τοὔνεκεν ἡφαίστοιο γόνον καλέεσκον ἅπαντες.
ἤλυθε δ' ἀλφειοῖο λιπὼν πισιδάτιδας ὄχθας.
αὐγείης υἱὸς πυριφεγγέος ἠελίοιο.
καὶ μὴν καὶ δισσοὶ ὄρπηκες ἀμύμονες ἧκον,
ἀμφίων κλυτόφημος· ἰδ' ἀστέριος μενεχάρμης
πελλήνην προλιπόντ' ἰδ' ἤθεα πατρίδος αἴης.
δισσὸν δ' αὖ βορέου καλὸν στάχυω εἰσενόησα.
οὓς τέκ' ἐρεχθῆος θείη κλυτὰ ὠρείθυια. ὠρείθυ
ἰλισοῦ παρὰ χεῦμα θεῷ φιλότητι μιγεῖσα.
οἱ δὴ καὶ ταρσοῖσιν ὑπ' οὐατίοις πεπότηντο.
ζήτης καὶ κάλαϊς, δέμας ἴκελοι ἀθανάτοισιν
Αὐτὰρ δὴ πελίαο φεραίοθεν ἤλυθ' ἄνακτες.
ἀγχιστεῖς· νηὸς γὰρ ἐπ' ἀργῷας γεγένητο.
ἄξεινον ποτὶ φᾶσιν ἅμ' ἡρώεσσιν ἐλάσσαι.
σὺν δὲ οἱ ἦλθ' ἑτάρος ἡρακλέεος θείοιο,
καλὸς ὕλας· τὸν δ' οὔπω ὑπὲρ δνοσβοῖο γενεύ,
ἀργεννῆς ἐρύθηι παρηΐδος ἁβρὸς ἴουλος.
ἀλλ' οὖν ἔτι κοῦρος ἔην, πολὺ δ' ἥνδανεν ἡρακλῆϊ.
οὗτοι μὲν ποτὶ νῆα· καὶ εἰς λόχον ἠγερέθοντο.
καὶ ῥα οἱ ἄλλοθεν ἄλλος ἐπεκέκλετο, ἠδ' ἀγόρευε
δεῖπνα δ' ἐπορσύνοντο πολυξείνοιο τραπέζης.
Αὐτὰρ ἐπεὶ σίτοιο ποτοῦ θ' ἅλις ἔπλετο θυμός.
ἥμενοι ἑξείης πόθεον μέγα ἔργον ἕκαστος.
ἀντιῶντες δ' ἅμα πάντες ἀπὸ ψαμάθοιο βαθείης,

ἤιον ἔνθα τ' ἔμιμνεν ὑπὲρ ψαμάθου ἁλίη ναῦς.
τὴν ῥά ποτ' εἰσορόωντες ἐθάμβεον, αὐτὰρ ἔπειτα
ἄργος ἔφη μοσσύναισινὲ πόρσωμον ὀχλίζειν,
δουρατέοισι φάλαγξι· καὶ εὐστρέπτοισι κάλωσι.
πρυμνόθεν ἀρτήσας. κέλλειν δ' ἐπὶ μόχθον ἑκάστου
πάντας κυδαίνων· οἱ δ' ἐσσυμένως ὑπάκουσαν,
τεύχεα δ' ἐκδύοντο περὶ στέρνοισι δ' ἀνῆπτον
σειραίην μήρινθον. ἐπέβριθεν δ' ἕκαστος,
αἶψα θοὸν ποτὶ κῦμα κατειρύσαι ἄλλαλον ἀργὼ
οὐδ' οἱ ἐγχριφθεῖσα ποτὶ ψαμάθῳ βεβάρητο.
αὐαλέοις φυκίεσιν ἐρυκομένη ποτὶ χέρσῳ.
ἡρώων παλάμῃσιν ὑπὸ στιβαρῇσιν ἀπειθής.
παχνώθη δ' αὖ θυμὸς Ἰάσονος· αὐτὰρ ἔμοιγε
νεῦσεν ἐπιπλώων ἵνα οἱ θάρσος τε βίην τε,
μολπῇ ὑφ' ἡμετέρῃ κεκμηκόσιν αἰὲν ὀρίνω.
Αὐτὰρ ἐγὼ φόρμιγγα τιτηνάμενος μετὰ χερσὶ,
μητρὸς ἐμῆς ἐκέρασσ' ὑπέρτατον κόσμον ἀοιδῆς.
καί οἱ ἀπὸ στηθέων ὄπα χείριον ἐξελόχευσα.
ἔξοχον ἡρώων μινυνίσεν αἷμα γενέθλης.
εἰ δ' ἄγε νῦν στεῤῥοῖσιν ὑπὸ στέρνοισι κάλωας.
βρίσαθ' ὁμοῤῥοθέοντες, ἐρέσατε δ' ἴχνια γαίῃ.
ταρσοῖσι ποδὸς ἄκρον ὑπερβλήδην τανύσαντες.
καὶ χαροπὸν ποτὶ χεῦμα γεγηθότες ἕλξατε νῆα.
ἀργὼ πεύκῃσιν τ' ἰδὲ δρυσὶν γομφωθεῖσαν.
αἰὲν ἐμῆς ἐνοπῆς, καὶ γὰρ πάρος ἔκλυες ἤδη.
ἡνίκα δένδρε' ἔθαλλον ἐν ὑλήεντι κολώνῃ.
πέτρας τ' ἠλιβάτους· καί μοι κατὰ πόντον ἔβαινες.
οὔρεα προλιποῦσα ἐπίσπεο δ' αὖτε θαλάσσης
παρθενίης ἀδαπτός· σὺ ἔρχευ δ' ἐπὶ πᾶσιν ἀμείβευ
ἡμετέρῃ πίσυνος κιθάρῃ, καὶ θεσκέλῳ ὀμφῇ.

δὴ τότ' ἐπιβρομέυσατο μακριὰς ἔκλυε φηγός·
ἣν οἱ ὑποτροπίην Ἄργος θέτο νηὶ μελαίνῃ·
παλλάδος ἐννεσίῃσιν· ἀνηέρθη μάλ' ὦκα,
δοῦρά τ' ἐλαφρίζουσα θοὴ δ' ὠλίσθανε πόντῳ·
καί οἱ ἐπειγομένῃ θαμινὰς ἐκέδασε φάλαγγας·
αἱ δ' οἱ ὑποδρόμι κεῖντο μιᾶς χοινόστα θεῖσαι.
ἐν δ' ἄρ' ἔβηλε μένος χαροπὸν δ' ἀνεχάσατο κῦμα.
θινὸς δ' ἀμφέκλυσθεν· ἐγήθει δὲ φρένας ἰήσων,
ἆλτο δ' ἔσω νεὸς ἄργος, ἐφέσατο δ' ἀγχόθι τίφυς.
καί οἱ ἐπ' ἄρτια θῆκαν ἀρηρότα πορσώοντες.
ἱστόν τ' ἠδ' ὀθόνας· ἐπὶ δ' αὖτ' οἴηκας ἔδησαν,
πρυμνόθεν ἀρτήσαντες ἐπεσφίγξαντο δ' ἱμᾶσιν.
Αὐτὰρ ἔπειτ' ἑκάτερθεν ἐρετμοὺς ἠκλώσαντο·
ἐς βαίνειν δ' ἐκέλευον ἐπειγομένους μινύας·
τοῖσι δ' αἰσονίδης ἔπεα πτερόεντα προσηύδα·
κέκλυτέ μευ βασιλῆες ἀμύμονες, οὐ γὰρ ἔμοιγε
ἀνδάνει ἐμπραπίδεσσιν, ἀρειοτέροισιν ἀνάσσειν·
ὑμεῖς δ' ὅντιν' ἄρα κραδίῃ θυμός τε μενοινᾷ,
ἡγεμόνα στήσασθε· καὶ ὧ περὶ πάντα μελήσῃ,
σημαίνειν ὅττι κεν ῥέξαι ἔπος ἠδὲ καὶ ἔργον.
πόντον ἐπιπλώουσιν ἀφιξομένοις τ' ἐπὶ γαῖαν,
εἴτε καὶ ἐς κόλχους, καὶ ἐς ἀλλοδαποὺς ἀνθρώπους.
καὶ γὰρ δὴ μινύαι σὺν ἐμοὶ πολέες τε καὶ ἐσθλοί,
οἳ ῥα καὶ ἀθανάτου ῥίζης γένος εὐχετάασθε,
ζωὸν ἀνκρείψασθε πόνων κλέος· ὄφρ' ἂν ἄρησθε.
ἀλλ' οὐ δὴ κάρτιστον ἀριστότερόν τε γενέσθαι
ἡρακλῆος ἄνακτος ὀΐομαι ἴστε καὶ αὐτοί.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήνεον· ἐκ δ' ἄρα φωνῇ·
λαὸς ἐπερρόθεεν, μινύαις ἐπικοίρανον εἶναι.
ἡγεμόνα ὃς πᾶσι μετ' ἔξοχος ἦεν ἑταίροις.

ἀλλ' ἐπίθον ἄνακτα πεπνυμένον. ὅς ῥά οἱ ἤδη,
ἥρης ἐν νεσίῃσι τετιμένον αἴσονος υἱόν.
ὣς δὴ οἱ κλέος ἐσθλὸν ἐπευομένοισιν ὄπαζεν.
ὃς τότε γ' αὐτὸς ἔνισπεν, ἰήσονα κοίρανον εἶναι.
πεντήκοντ' ἐρέτῃσιν, ἀνὰ προφερῆντε καὶ ὑγρήν.
καὶ τότε δὴ μάλα πάντες ἐπῄνεον ὡς ἐκέλευεν
ἡρακλέης· καὶ θῆκαν ἰήσονα κοίρανον εἶναι
ἦμος δ' ἠέλιος τὸν ἀπείριτον αἰθέρα τέμνων,
ἵπποις ὠκυπόδεσσι κελαινὴν ἔντυε νύκτα·
τῆμος ἐνὶ πραπίδεσσιν ἐμήτιεν αἴσονος υἱός.
πίστιν ἐφ' ἡρώεσσι καὶ ὅρκια συνθεσιάων
θέσθαι. ὄφρ' ἔμπεδα πάντα φυλασσόμενοι πεπίθοιντο
καὶ τότε τοι μύστην φίλον τέκος ἀντιοφήμου,
πορσύναι μ' ἐκέλευε θεοῖς ἱερήϊα καλά·
Αὐτὰρ ἐγὼ ψαφαρῇσιν ἐπ' ἠιόνεσσιν ἐνῆκα.
κᾶλατά τ' ἐκ δρυμὸς ἐπὶ φερεσβίῳ ἐν δ' ἄρ ὕπερθε.
πέπλῳ παρκατέθηκα θεοῖς ἐπινήχυτα δῶρα.
καὶ τότε δὴ κρατῆρα βοῶν περιμυκέα ταῦρον.
σφάζον ἀνακλίνας κεφαλὴν εἰς αἰθέρα δῖαν.
ῥωομένων περὶ δ' αἷμα πυρὶ χέον ἔνθα καὶ ἔνθα
Αὐτὰρ ἐπεὶ κραδίην θραύσας ποπάνοισιν ἔθηκα
λείψας ὑγρὸν ἔλαιον, ἐπ' αὐτῷ δὲ γλάγος ἀμνῆς.
ἥρωας δ' ἐκέλευσα περισταδὸν ἀμφιχυθέντας.
δοῦρα τ' ἐναμπήξασθαι ἰδ' ἄρα κωπήεντα.
βύρσῃ τε σπλάγχνοισιν ἐρειδομένας παλάμῃσι.
θῆκα δ' ἄρ' ἐν μέσσῳ τεῦχος κυκεῶνος ἐρείσας
ὀστράκιον. τῷ πάντα περιφραδέως ἐμέμικτο.
δήμητρος μὲν πρῶτα φερέσβιος ἀφίτη ἀκτή.
αἷμα δ' ἐπὶ ταύροιο θαλάσσης θ' ἁλμυρὸν ὕδωρ
στέψασθαι δ' ἐκέλευσα κύκλῳ ἐρόεντας ἐλαίης.

καὶ τότε χρυσείην φιάλην χείρεσιν ἐμῇσιν·
ἀμπλήσας κυκεῶνος, ἐφεξείης ἐπένειμον·
νεῖμ' ἄνδρα ἕκαστον ἐριθενίων βασιλήων·
πυρκαϊῇ δ' ἐκέλευον Ἰήσονα λαμπάδα θέσθαι
πεύκης ἀζαλέης· ὑπὸ δ' ἔδραμε θεσπεσίη φλόξ·
δὴ τότ' ἐγὼ πρὸς χεῦμα πολυφλοίσβοιο θαλάσσης
χεῖρας ἐπαντείνας, τάδ' ἀπὸ γλώσσης ἀγόρευσα·
ὠκεανοῦ μεδέοντας ἁλικλύστοιό τε πόντου,
ἐμβυθίους μάκαρας, καὶ ὅσοι ψαμαθώδεας ἀκτὰς
ναίετ' ἁλιρροθίους, καὶ πυθοὺς ἔχετ' ὕδωρ.
νηρέα μὲν πρώτιστα καλῶ πρέσβιστον ἁπάντων.
ἄμμιγα πεντήκοντα κόραις πάσῃσιν ἐρανναῖς.
γλαῦκον δ' ἰχθυόεντ' ἀκήριτον ἀμφιτρίτην,
πρωτέα καὶ φόρκυνα, καὶ εὐρυβίην τρίτωνα.
λαιψηρούς τ' ἀνέμους, αὔραις μέγα χρυσοταρσεῖς.
ἄστρα τε τηλεφανῆ, καὶ ἄχλυα νυκτὸς ἐρεμνῆς
αὐγήν τ' ἠελίοιο ποδῶν προποδηγέτιν ἵππων,
δαίμονας ἐναλίους τε μιγαζομένους ἥρωας.
ἀνταίους τε θεοὺς, ποταμῶν θ' ἁλιμυρέα ῥεῖθρα.
αὐτόν τε κρονίδην σεισίχθονα κυανοχαίτην,
κύμασιν ἐκ προθορόντα, μολεῖν ἐπιτάρροθον ὅρκων
τόφρα μὲν ὧν ἐπίκουροι Ἰάσονος ἔμπεδον αἰεὶ
μίμνωμεν πρόφρονες ξυνῶν ἐπαρηγόνες ἄθλων,
ζωοὶ νοστήσωμεν ἐπὶ πρὸς δῶμα θ' ἕκαστος.
ὃς δ' ἐκ σωθείσης δηλήσεται ἢ ἀλιτρίζων
ὅρκον ὑπερβάσιον, τούτου δ' ἐπιμάρτυροι ἔστων,
ἰθυντῆρα δίκη, καὶ ἐριννύες αὐτοδότειραι.
Ὣς ἔφαμεν, οἱ δ' αὖτις ὁμοφροσύνῃ κατένευσαν,
ὅρκια δειμαίνοντες. ἐσημήναντο δὲ χερσὶν·
αὐτὰρ ἐπεὶ ῥ' ὄμοσάν τε τελεύτησάν τε τὸν ὅρκον,

δὴ τότε νηὸς ἔσω κοῖλον κύτος εἰσεπέρησαν,
πάντες ἐφεξείης· ὑπὸ δὲ ζυγὰ τεύχε' ἔθεντο,
χεῖρας ἐρετμώσαντες, ἐκέκλετο δ' αὐτόθι Τῖφυς
ἐκ ταρσίοις ὅπλοις δῆσαι παρὰ κλίμακος μακρὴν
ἱστία δ' ἁπλῶσαι, λιμένος δ' ἐκ πείσματα θέσθαι
καὶ πότε δὴ λιγυρὸν οὖρον ἐπιπροέηκε νέεσθαι·
Ἥρη Ζηνὸς ἄκοιτις· ἐπείγετο δ' ἐς πλόον Ἀργὼ·
οἱ δ' ἄρ' ἐπ' εἰρεσίην ἔπεχον χεῖράς τε νόον τε
ἄκμητοι βασιλῆες· ἐτέμνετο δ' ἄσπετος ἅλμη·
ἀφρῷ ἀμφιδιαινόμενος ὑπὸ ῥόθιον ἔνθα καὶ ἔνθα.
ἦμος δ' ἱερὸς ὄρθρος ἀπ' ὠκεανοῖο ῥοάων
ἀκλίνας ἤνοιγεν, ἐπέσσυτο δ' ἠριγένεια,
ἡδὺ φάος θνητοῖσι καὶ ἀθανάτοισι φέρουσα.
καὶ τότε δὴ σκοπιαί τε καὶ ἠνεμόεσσα κολώνη,
Πηλίου ὑλήεντος ἀπ' ἠιόνος κατέφαινε
Τῖφυς δ' ἀμπαύσας δινῆς οἴακα χειρὸς
τυτθὸν ὑπ' εἰρεσίῃσιν ἐκέκλετο κῦμα χαράσσειν,
καὶ ῥαθοῦς ἀκταῖσιν ὑπέδραμεν ἐκ δ' ἄρα νηὸς
κλίμακα δουρατέην λιμένων ἔνερθε χάλασσαν.
ἐκ δ' ἔβαν ἥρωες Μινύαι, παύσαντο δὲ μόχθου.
τοῖσι δὲ μύθων ἦρχεν ὁμιλαδὸν ἱππότα Πηλεύς.
ὦ φίλοι· ἀθρεῖτε σκοπιῆς προὔχοντα κολωνόν,
μέσσῳ ἐνὶ πρηῶνι κατάσκιον· ἐνθάδε Χείρων
ναίει ἐνὶ σπήλυγγι δικαιότατος κενταύρων·
οἱ τράφεν ἐν Φολόῃ, Πίνδου τ' αἰπεινὰ κάρηνα
ὃς ῥα δικασπολίῃ μέλεται καὶ ἀκέσμασι νόσων
ἄλλοτε δ' αὖ Φοίβου κιθάρην μετὰ χερσὶν ἀράσσων,
ἢ λιγυρὴν φόρμιγγα χελυκλόνον ἑρμάωνος·
πᾶσι περικτιόνεσσι δικασπολίας ἀναφαίνει
τόφρα καὶ ἡ μάτηρ κοῦρον Θέτις ἀργυρόπεζα.

νήπιον ἀρτιγένεθλον ἐν ἀγκαλίδεσσι λαβοῦσα,
Πήλιον εἰνοσίφυλλον ἔβη, Χείρωνί τ' ἔδωκεν
ὃν μὲν ἐπισταμένως ἀνατρεφέμεν, ἠδ' ἀτιτάλλειν.
ὃν δή μοι πόθος ἐστὶ περὶ φρένα θηήσασθαι.
ἀλλὰ φίλοι πελάσωμεν ἐπὶ αὐλὰς ὄφρα ἴδωμεν.
ἕξιν παιδὸς ἐμοῖο, καὶ ἤθεσιν οἷσι κέκασται.
Ὣς εἰπὼν ἐξῆεν ἀταρπιτόν· οἱ δ' ἑπόμεσθα.
αὐτὰρ ἐπεὶ εἰς αὐλὴν εἰσήλθομεν ἠεροειδῆ,
καὶ προκεκλιμένος μὲν ἐπ' ὑλαίοιο χαμεύνης
κεῖτο μέγας Κένταυρος, ἀπηρήρειστο δὲ πέτρῃ,
ἐν πελάαισιν ὁπλαῖσι τανυσσάμενος θοὰ κῶλα.
ἄγχι δ' ἑστάμενος Θέτιδος καὶ Πηλέος υἱός,
χερσὶ λύραν ἤρασσε, φρένας δ' ἐτέρπετο Χείρων.
ἀλλ' ὅτε δή ῥ' ἄθρησεν ἀγακλειτοὺς βασιλῆας.
ἀσπασίως ἀνόρουσε, κύσεν δ' ἄρα φῶτα ἕκαστον.
δαῖτα τ' ἐπόρσυνεν· μέθυ δ' ἀμφιφορεῦσι κόμισσεν
ῥωγαλέας τ' ἔστρωσεν ὑπὸ στιβάδεσσι πέταλα·
κλινθῆναι δ' ἐκέλευσεν, ἀδαιδάλτοις δ' ὑπὸ πλαγκτοῖς
κρέα χύδην προύθηκε συῶν ἐλάφων τε ταχειῶν.
Αὐτὰρ ἐπεί τ' ἐπίνειμε ποτὸν μελιηδέος οἴνου.
ἀλλ' ὅτε δὴ δόρποιο ποτέ θ' ἅλις ἔπλετο θυμός.
χερσὶν ἐπικροτέοντες ἐμόκλεον, ὄφρ' ἂν ἔγωγε
δηρίσω Χείρωνι διωλύγιον κιθαρίζων.
ἀλλ' ἐγὼ οὐ πιθόμην, περὶ γάρ με ἐπήλυθεν αἰδώς
ὁπλότερον γεγαῶτα γεραιτέρῳ ἰσοφαρίζειν
μέσφ' αὐτὸς Χείρων ἐλιλαίετο καί μ' ἀέκοντα
ἠνώγει, ἄλλων ἐριδαινέμεν εἵνεκα μολπῆς
πρῶτος δ' αὖ Κένταυρος ἀείρατο πηκτίδα καλὴν
ἥν ῥα τότ' ἐν χείρεσσι φέρων ὤρεξεν Ἀχιλλεύς·
ὃς δ' ἄρ' ἄεισε μάχην Κενταύρων ὀβριμοθύμων.

ὥς λαπίθαι κατέπεφνον ἀτασθαλίης ἕνεκα σφῶν
ἥρωας ἡρακλῆι κατάντια μαιμώωντας,
ἐν φολόῃ θήρισαν, ἐπεὶ μένος οἶνος ἔγειρεν.
Αὐτὰρ ἔγωγε μετ' αὐτὸν ἑλὼν φόρμιγγα λιγεῖαν,
ἐκ στόματος μελίγηρυν ἱεὶς ἀνέπεμπον ἀοιδήν.
πρῶτα μὲν ἀρχαίου χάεος μεγαλήφατον ὕμνον.
ὡς ἐπάμειψε φύσεις, ὥς τ' οὐρανὸς ἐς πέρας ἦλθε.
γῆς τ' εὐρυστέρνου γένεσιν, πυθμένα τε θαλάσσης.
πρεσβύτατόν τε καὶ αὐτοτελῆ πολύμητιν ἔρωτα
ὅσσα τ' ἔφυσεν ἅπαντα· διέκριθεν δ' ἄλλον ἀπ' ἄλλου
καὶ κρόνον αἰνολέτην· ὥς τ' ἐς δία τερπικέραυνον
ἤλυθεν ἀθανάτων μακάρων βασιλήιος ἀρχή.
μέλπον δ' ὁπλοτέρων μακάρων γένεσίν τε κρίσιν τε
καὶ βριμοῦς βάκχοιο γιγάντων τ' ἔργ' ἀΐδηλα.
ἀνθρώπων δ' ὀλιγοδρανέων πολυεθνέα φῦλα,
ἤειδον· τινὸν δὲ διὰ σπέος ἤλυθεν αὐδή.
ἡμετέρης χέλυος μελίχρην ὄπα γηρυούσης.
ἔσσυτο δ' ἄκρα κάρηνα καὶ ἄγκεα δενδρήεντα
πηλίου ὑψηλάς τε μετὰ δρῦς ἤλυθε γῆρυς.
καί ῥ' αἱ μὲν πρόρριζοι ἐπ' αὔλιον ἐρρώσαντο.
πέτραι τ' ἐσμαράγευν. θῆρες δ' αἴοντες ἀοιδῆς,
σπήλυγγος προπάροιθεν ἀλυσκάζοντες ἔμιμνον.
οἰωνοί τ' ἐκυκλοῦντο βοαύλια κενταύροιο,
ταρσοῖς κεκμηῶσιν· ἑῆς δ' ἐλάθοντο καλιῆς.
Αὐτὰρ ὁρῶν κένταυρος ἐθάμβεε, χεῖρ' ἐπὶ καρπῷ
πυκνὸν ἐπιπλήσσων· οὖδας δ' ἤραξεν ὁπλῇσι.
τῖφυς δ' εἰσεπέρησεν ἕως ἄπο, καί ῥ' ἐκέλευσεν
ὦκα παρὰ μινύαισιν, ἐγὼ δ' ἄμπαυον ἀοιδῆς.
ἄιδε, βοῶς ἤγρεθεν· ἔντυνε δὲ τάχ' ἔκγονος.
παῖδα δ' ἐν ἀγκαλίδεσσιν ἐδέξατο ἱππότα πηλεὺς

καί ῥ' ἵκυσεν κεφαλήν τε καὶ ἄμφω φάια χηλάς
δακρυόειν γηλόων· κηλήθη δὲ φρένας ἀχιλλεύς.
Αὐτὰρ ἐμοὶ κένταυρος ἐῇ γέρας ὤπασε χειρὶ
νεβρὴν παρδαλέην ξεινήϊον ὄφρα φέροιμι.
καὶ ὅτε δὴ συνάλυκτος ἀποπροθορόντες ἔβημεν
ἄκρης ἐκ σκοπιῆς, ὁ γέρων ἀνὰ χεῖρας ἀείρων,
φιλλυρίδης ἠρᾶτο, θεοὺς δ' ἐπικέκλετο πάντας
νόστον ἰθὺ μινύαισιν· ἰδὲ κλέος ἐσθλὸν ἀρέσθαι
ὁπλοτέροις βασιλεῦσι καὶ ἐσσομένοις μερόπεσσιν.
Αὐτὰρ ἐπεί τ' ἐπὶ νῆα καὶ ἱστία πάντες ἔβησαν
ἐν προτέροις θώκοισι καθίζανον. ἐν δ' ἄρ' ἐρετμοῖς
χεῖρας ἔφα κλώσαντες, ἐπί ῥ' ἅλα τύπτον ἕκαστος
πήλιον ἐκνεύσαντες, ὑπὲρ μέγα λαῖτμα τε πόντου
ἀφρὸς ἐπιζέων χαροπὴν λαίνεσκε θάλασσαν.
τισαίη δ' ἀπέκρυφθεν ἅμα καὶ σηπιὰς ἀκτή.
φαίνετο δὲ σκίαθος, δόλοπός τ' ἀνεφαίνετο σῆμα
αἰγιαλός θ' ὁ μακρὴ ῥεῖθρόν θ' ἁλιμυρὲς ἐναύλου.
ὃς διὰ πολλὴν γαῖαν ἵει μεγαλόβρομον ὕδωρ.
ἠλύμην δὲ βαθυσκοπέλου πρηῶνας ἐρυμνοὺς,
εἰσέδραμον μινύαι· καὶ ἄθωσδε δρώοντα καὶ μέψαν
πελλήνην τ' εὐρεῖαν· ἰδὲ ζαθέην σαμοθρήκην.
ἔνθα καὶ ὄργια φρικτὰ θεῶν ἄρρητα δὲ βροτοῖσιν
ἀσμένοι εἰσεπέρησαν ἐμῆς ὑποθημοσύνῃσιν
ἥρωες· μετὰ γάρ σφιν ὀφέλσιμον ἀνθρώποισι.
πῆς δὲ θυηπολίης ἄμοτον πλωτῆρσιν ἕκαστος.
σιντιακοῖς δ' ὀφρύσιν ἐκέλσαμεν ὠκύαλον ναῦν,
λήμνῳ ἐν ἠγαθέῃ· τόθι περ κακὰ ἔργα μεμήλει
θηλυτέραις· αἳ γὰρ θεῖν ἀϊστώσαντο συνεύνους
σφῇσιν ἀτασθαλίῃσι· καὶ ἣ κλυτὸν ὑψιπύλεια
ἑλδομέναις κρείεσκε γυναικῶν εἶδος ἀρίστη·

ὠμὰ τίσαι πρὶν τῶν δὲ πολὺν λόγον ἀμφαδὸν εἰπεῖν
ἄστυ ἐφ' ἵμερον ὦρσεν ἀγαυαῖς λημνιάδεσσιν·
κύπρις ἐρωτοτρόφος μινύαις εἰς λέκτρα μιγῆναι.
φίλτροις ὑψιπύλην ἐρατοῖς ἐδάμασσεν ἰήσων,
ἄλλη δ' ἄλλος ἔμικτο. καὶ ἐκλελάθοντο πορείης
εἰ μὴ ἀποτροπίοις ὀμοπῆς θελξίφρονι θυμῷ
ἡμετέρῃ θελχθέντες ἔβαν ποτὶ νῆα μέλαιναν,
εἰρεσίῃ ποθέοντες ἐπιμνήσαντο δὲ μόχθου.
ἦλθεν δ' ἑλλήσποντον ἅμ' ἠοῦς φέρεν οὖρος·
ἀκραὴς ζέφυρος. στεινῆς ἀπάτερθεν ἀβύδου.
ἴλιον δαρδανίην πίτυν ἐπὶ δεξιὸν ἔχοντας.
ὃ καὶ ἀβαρνιάδας, τρηκώτης τ' αἰσάχου αἶαν
ἀργυρέαις αἴσηπος ἐπικλύζει προχοῇσιν
αἶψα δ' ἐπιθρώσκουσα θέεν πολυηγόρος ἀργώ.
Αὐτὰρ ἐπεὶ ψαμάθοισιν ἐκέλσαμεν, ἐν δ' ἄρα τίφυς
ἰθυντὴρ ἀκάτοιο καὶ ἀγλαὸς αἴσονος υἱός.
σύν τ' ἄλλοι μινύαι, γλαυκώπιδι τριτογενείῃ,
θῆκαν ἀείραντες βριθὺν λίθον, ἐνθάδε νύμφαι
κρήνῃ ὑπ' ὀρτακίῃ καλὰ νάματα πλημμύρουσιν
θωϋκτοῖς πλώουσιν ἀνὰ πλατὺν ἑλλήσποντον.
αὖθι δ' ἀντεβόλησε μυχῷ ἔντοσθε γαλήνη.
ἐνδ' εἰς γαῖαν ἔριψαν εὐγνάμπτους ἀγκύρας·
κύμασι θεινόμενοι ὑπὸ χειμερίοισιν ἀήταις·
ἐνθάδε προσμολόντες ἐπὶ κροκάλαις πτυχόεσσαις
δεῖπνά τε καὶ κλισίην, δόρπου μεμνήμεθ' ἕκαστοι·
δὴ τότε κεκλιμένοισιν ἐπήλυθε κύζικος ἥρως.
ὃς δολόπων ἤνασσε περικτιόνων ἀνθρώπων
αἰνῆος φίλος υἱός. ὅν οἱ τέκε δῖα γυναικῶν.
εὐσώρου θυγάτηρ αἰνήτη καλλιπάρηος.
ὃς ῥα φιλοξενίῃ μινύας ἐγέραιρεν ἅπαντας.

σφάζων πῖά τε μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς·
ἀγροτέρους πισύας. δῶκεν δ' ἐπὶ οἶνον ἐρυθρόν-
σῖτον δ' ἄφθονον ἧκεν ἀποπλώουσι φέρεσθαι.
χλαίνας τ' ἠδὲ τάπητας ἀννήτους τε χιτῶνας·
φίλατο δ' αὖ παρεόντας ὁμηλικίης ἕνεκα σφῆς·
καί ῥα πανημερίοισιν ἐν εἰλαπίνῃσιν ὅμαρτεν·
καί ῥ' ἀπανημερίοισιν ἐν εἰλαπίνῃσιν ὅμαρθεν
ἀλλ' ὅτε γ' ὠκεανοῖο ῥόον βαπτίζετο τιτάν
μήνη δ' ἀργοχίτων ἔπαγεν μελαναυγέα ὄρφνην
τῆμος δρυΐφατοι κίον ἀνέρες οἵ ῥ' ἀνέμοντο
ἀρκτῴοις ἐν ὄρεσι τε θηπότες ἴκελα θηρσὶ
τιτᾶσι βριαροῖς τ' ἐναλίγκιοι ἠδὲ γίγασιν·
ἓξ γὰρ χεῖρες ἑκάστῳ ἀπ' ὤμων ἀΐσσοντο
οἵ τότ' ἐσαθρήσαντες ἀμαιμάκετοι βασιλῆες
ἐσμάθον ὁρμαίνοντες δρήια τάχ' ἔδωον
καί ῥ' οἱ μὲν πεύκῃσιν ἀμιώοντο, οἱ δ' ἐλάτῃσιν
ἐν δ' ἔπισαν μινύαισι κατὰ σκοτόεσσαν ὁμίχλην.
οὓς τοι ἐπειγομένους κτεῖνεν διὸς ἄλκιμος υἱὸς·
τόξῳ ὀϊστεύων· σὺν δ' αὖ νέον ὤλεσε παῖδα
κύζικον· οὔτι ἑκών, ἀλλ' ἀφραδίῃσι πεπιθεὶς
τῷ δ' ἄρα μόρσιμον ἦν ὑφ' ἡρακλῆϊ δαμῆναι.
αὐτίκα δὲ οἱ μινύαι, κοίλης ἔντοσθεν ἔβησαν
νηὸς τευχήρεις, ποτὶ δὲ ζυγὸν ἷζον ἕκαστος·
τῖφυς δὲ, πρύμνηθεν ἐπήπυεν ἠδ' ἐκέλευε
κλίμακα νηὸς ἔσω ἐρύσαι· καὶ πείσματα λῦσαι·
ἀλλ' οὐ γὰρ λύοντο κάλοι· δεσμοῖσι δ' ἀφύκτοις
ὠκείης στροφάλιγγος ὀρηρότες ἐσφίγγοντο
νῆα κατείργοντες. θάμβησε δὲ τῖφυς ἀμύμων.
ἄφθογγος δέ οἱ ἦκε χερῶν, οἴηια νηὸς
ἀργώης. οὐ γάρ τι ἐέλπετο κῦμα περῆσαι.

ῥείη γὰρ κοτέεσκε δολιονίοις εἵνεκα λαοῦ.
ἀλλ' ὅτε πρὸς μέσατον νυκτὸς τρύβασεν ἀτὰρ τῶν
ἄστρα τὲ πλειφανῆ δύων ῥόον ὠκεανοῖο.
ἔστε κυβερνήτῃ προσεπέπτηχε νήδυμος ὕπνος,
τῷ δὲ βαθὺ κνώσσοντι θεὰ μενέδουπος ἀθήνη,
ἄγχι παρισταμένη παρ' ἐτήτυμα σύμα τ' ἔφαινεν.
ὧδε δ' ὁμοκλήσασα θεηγόρον ἔννεπε μῦθον.
εὕδεις ἀγνιάδη γλυκερῷ βεβολημένος ὕπνῳ.
κῶμα περὶ βλεφάροισι βαλὼν, ἀλλ' ἔγρεο τίφυ.
κέκλεο δ' ἡρωέσσι μολεῖν ἐπὶ νήνεμον ἀκτὴν
νηὸς ἄπο προθορόντας ὅθι ξένος ἐν ψαμάθοισι.
κεῖται ἀποφθίμενος, τῷ οἰκτέρεα κτερεΐξαι
παμμήτειρα ῥέη κέλεται γέρα. ἠδέτε λοιβὰς
δοῦναι ὑποχθονίοισι· καὶ δάκρυα λειβέμεν ὅσιων.
ἀζομένους θέμιν ἀγνοτελῆ ξενίην, τράπεζαν.
ὃν ῥ' ἀέκων ἔκτανε βαλὼν διὰ νύκτερον ὄρφνην
ἡρακλέης. θυμὸν δὲ θεᾶς ἐχολώσατο ῥείης.
ἀλλ' ὁπόταν θεσμοῖς ξεῖνον σεβάσησθε θανόντα.
δίνδυμον αὐτίκ' ἔπειτα ῥέης ἕδος εἰσαναβάντες.
ἱλασμοῖς ἱροῖς γαίης ἀρέσασθε θύγατρα.
πείσματα δ' ἀράμενοι τότε δὴ μνώεσθε πλόοιο.
ὣς εἰποῦσα θεὰ πάλιν ἐτράπετ' ἴσον ὀπίσω.
οὐρανὸν εἰσαμένη· τὸ δ' αὐτίκα κῶμ' ἐκεδάσθη.
πρύμνης δ' ἆλτο θοῶς ἀνέγειρε δὲ λαὸν αὐτῇ
τοίχων ἔνθα καὶ ἔνθα παρακλιδὸν ὑπνώοντας
ψυχῇ ὑποζομένων, ἄφαρ ἡρώεσσι δ' ὀνείρου.
φάσματα πᾶσιν ἔνισπεν. ἐπισχομάδην ἀγορεύων
οἱ δὲ, θοῶς ἤγερθεν, ἐπ' ἠϊόνα δ' ἆλτο ἕκαστος,
ἤδη, κατ' ὀρφναίοιο πόλου χρυσήνιος ἠώς,
ἀντολίην ἤνοιγεν. ἐδέχνυτο δ' οὐρανὸς ὄρθρον

καὶ τότ' ἀριστῆες μινύαι νέκυν εἰσενόησαν
αἵματι καὶ κονίῃ πεπαλαγμένον, ἀμφὶ γὰρ ἄλλα
δή οἱ ἀμφὶς ἔκειτο πελώρια σώματα θηρῶν
ἂψ δ' οἱ μὲν βασιλῆα πρισπεδὸν ἀμφιχυθέντες
κύζικον ἀξίοισιν ὑπὸ πλατέεσσιν ἔθηκαν
ἂψ δ' ἄρα τύμβον ἔχευαν· ἐδωμήσαντο δὲ σῆμα.
φιτροὺς δ' αὖτα κόμιζον· ἰδ' ἔντομα πορσαίνοντες
παμμέλαν' εὐβότοισι κατεκτάνον, αὐτὰρ ἔγωγε
ψυχὴν ἱλασάμην σπένδων μειλίγματα χύτλων
ὕδατι δ' ἠδὲ γάλακτι μελισσορύτους σπονδὰς μιῶς
λοιβαῖς συμπροχέων καὶ ἐμοῖς ὕμνοισι γεραίρων·
αὐτὸς δ' αἰσονίδης προὐθήκατο πᾶσιν ἄεθλον·
τυμβίδιον ἐπ' ἀγῶνος ἑταίροις ἔμμεν ἄεθλα·
δῶρα τά οἱ πόρεν ὑψιπύλη λήμνοιο φέρεσθαι·
ἀγκαίῳ μὲν δῶκε πάλης γέρας ἀμφικύπελλον
χρύσεον πολυχανδὲς ἔχειν· πηλεῖ δ' ἔδωκε
θᾶσσον τι σταδίοισι ποδώκης ἤνυσε σφῆς.
χλαῖναν φοινικέην πολυδαίδαλον ἔργον ἀθήνης·
Αὐτὰρ παγκρατίοιο δόκεν γέρας ἡρακλῆϊ.
ἀργύριον κρητῆρα πανάιολον ἱππασίης δὲ
κάστορι, χρυσείων φαλάρων πολυτεχνέα κόσμον.
πυγμαχίης δὲ τάπητα λιανθέα δῶκε φέρεσθαι.
ἀθλοφόρῳ πολυδεύκει ὁ γὰρ κλυτὸν ἤρατο νῖκος
αὐτὸς δ' αὐγομπεὶς τόξον λάβεν ἠδ' ἄρ' ὀϊστούς·
τεινόμενος δὲ οἱ ἧκε βέλος τὸ δ' ἀπέπταρ πολὺ
δῶκε δ' ἄρ' αἰσονίδῃ μινύης λόχος εἵνεκα τιμῆς.
πλέξας ἄνθεσι στέφανον τανυφύλλου ἐλαίης·
Αὐτὰρ ἐμοὶ μολπῆς γέρας ὤπασε δῖος ἰήσων,
ἐμβάδα χρυσείην γε τιταινομένην περιβύγαι·
λῦτο δ' ἀγὼν φήμη δὲ διέπταρ δώματος εἴσω·

νυξίης οἰχομένης τῇ δ' ὡς κλύε σύγγαμος αἰνή-
τηδεια δρυπτομένη λίγ' ἐκώκυεν, ἀμφὶ δὲ δειρῆς.
ἁψαμένη μήρινθα βρόχῳ ἀπὸ θυμὸν ὄλεσσε.
γῆ δ' ὑποδεξαμένη πάλι δάκρυα πίδακος ἧκε.
βλύζουσ' ἀργυροειδὲς ὕδωρ κρήνης ἀπὸ μέσσης,
ἀέναον· κλεινὴν δὲ περικτίονες καλέουσι·
καὶ τότε δὴ βασιλῆος ἀγροπόλοι διὰ πύστιν
κνημὸν ἐπὶ ζάθεον, καὶ Δίνδυμον ἀκρώρειαν
ὄφρα κεν ἐμὰ λέξαιντο εὐοινίστοις ἐπὶ λοιβαῖς
ῥέζειν πρεσβυγενῆ, θυμὸν δ' ἀγέραστον ἀνώγη.
Αὐτὰρ ἐγὼν ἑπόμην φόρμιγγα δὲ μετὰ χερσὶν ἀείρων
ἄργος δ' αὖθ' ἵκανε λιπὼν ἀεργέα νῆα
ὅς γε τανυφλοίου ἐλάτης ἀμφιπλεχὲς ἔρνος
ἀμπέλου αὐαλέης, ὀξεῖ ἀπέκοψε σιδήρῳ
ξέσσε δ' ἐπισταμένως βρέτας ἱρὸν ἰδμοσύνησι
μίμνειν ἔμπεδον αἰὲν, ἐπεσσομένοις ἀνθρώποις.
λᾶασι δ' εὐτύκτοις δωμήσατο οἶκον ἀνάσσῃ·
ἐν δ' ἄρ' ἐπειγόμενοι μινύαι, μέγα δ' ἔξοχα πάντων
αἰσονίδης, λιθάκεσσιν ἀρηρότα βωμὸν ἔτευξαν.
ᾧ ἐπὶ ταυροθύτους λοιβὰς ἠδ' ἱερὰ καλὰ
ῥέξαν ἀριστῆες, σπονδῇσι δ' ἐτέρπετο ῥέη.
Αὐτὰρ ἔμ' ἤνωγον κλῆσαι θεὸν ἠδὲ γεραῖραι.
ὄφρα κεν αἰτομένοις νόστον μελιηδέ' ὀπάσσοι·
αὐτὰρ ὅτε δὴ θυέεσσι λιταῖσί τε γουνασάμεσθα
ἀργώην ποτὶ νῆα κατήλθομεν, ἐν δ' ἄρα τῖφυς
ἥρωας πρύμνηθεν ἐκέκλετο, σὺν δ' ἄρα πάντες
ἑσσύμενοι θώκοισιν ἐπὶ προτέροισι κάθιζον
βάντες ὑπὲρ θώκοιο, καὶ εἰρεσίης μνώοντο.
ἀπροφάτως δ' ἀπὸ γῆς λεπτοὶ λύοντο κάλωες
πείσματα δ' ἠπλώθη· κραιπνὸν δ' ἀπὸ Δινδύμου ἄκρης

ἴκμενον οὖρον ἐφῆκε ῥέη λιπαροκρήδεμνος.
ἡμεῖς δ' αὖτ' ἐπὶ νηὶ γεράσμια πέμπομεν ἱρὰ
βωμὸν ἐπιστέψαντες ἐπειγομένοισι πυθέσθαι
πεισματίην, τόθι πεῖσμα θ' ἐεργομένης λύθεν ἀργοῦς.
Αὐτὰρ ἐπεί γ' ὀθόνας ἀκάτου πλήρωσεν ἀήτης
θῦνε διαπρήσσουσ' ἁλιμυρέα κύματα πόντου
μύσια δὲ σχεδόθεν παραμείβετο πείρατα γαίης.
αἶψα δὲ ῥυνδακίους προχοὰς ἤμειψε θέουσα.
κηλούς τ' ἐς λιμένας ψαμμαθώδεας εἰσεπέρησε
κέλσε δ' ἐπ' αἰγιαλῷ προτόνοις δ' ἐπὶ χεῖρα βαλόντες
ἱστία μηρύσαντο καὶ ἀμφὶ μάνιν ἔδησαν
κλίμακα δ' ἐξώκειλαν ἐπὶ χθονός, ἐκ δ' ἔβαν αὐτοὶ
σίτου καὶ πόσιος λελιημένοι, ἀμφὶ δὲ κνάμος.
ὀργάδες κατέφαινε βαθυσκόπελοί τε κολῶναι.
ἡρακλέης δ' ἤπειγε τ' ἀν' ὑλήεντας ἐναύλους.
τόξον ἔχων παλάμαις ἰδὲ τριγλώχινας ὀιστούς.
ὄφρα κε θηρήσαιτο, πόροι δ' ἐπὶ δόρπον ἑταίροις
ἢ σύας, ἢ πόρτιν κεραὴν· ἢ ἄγριον αἶγα.
τοῦ δ' ἀφαμαρτήσαντος ὕλας ἐξίκετο νηὸς
λάθρα ἐπισπόμενος· σκολιῆς δ' ἀλίτησεν ἀταρποῦ
ὕλῃ ἐνιπλαγχθείς· ἐν δὲ σπέος ἤλυθε νυμφῶν
λιμνακίδων· αἵ μιν σφὶν ἐσαθρήσασαι ἰόντα.
κοῦρον ἔτ' ἀντίθεον, κατερύκανον ὄφρα σὺν αὐταῖς
ἀθάνατός τε πέλῃ· καὶ ἀγήραος ἤματα πάντα.
ἀλλ' ὅτε πρὸς μεσάτην ἠῶ φέρεν ὠκέας ἵππους
ἠέλιος, κραιπνὸς δ' ἐξ οὔρεος ἔπνεεν οὖρος.
ἐν δ' ἔπεσ' ἀργινάαις· ὀθόναις τῖφυς δ' ἐγεγώνει
νηὸς ἔσω περάαν· θινὸς δ' ἐκ πείσματα λύειν
οἱ δέ, κυβερνητῆρος ἐφημοσύναις ἐπίθοντο.
εἰλατίδης δ' ἀνὰ πρῶτα θοῶς πολύφημος ἔβαινεν.

ὄφρα κεν ἡρακλῆα βοῶς ἐπὶ νῆα καλέσσοι
ἀλλ' οὔ οἱ ξύμβλητο. μολεῖν γὰρ ὅ γ' οὔτι πέπρωτο
φᾶσιν καλλίρροον μένος ὄβριμον ἡρακλῆος.
Αὐτὰρ ἐπ' ἠῶοι λυγρὴν ἐπιπλώομεν αἶαν
ἔνθ' ἄμυκος βεβρύκεσσιν ὑπερφιάλοισιν ἄνασσεν.
ὅς τε πανομφαίου ζηνὸς θέμιν οὐκ ἀλεγίζων
ἄεθλον ἐπὶ ξείνοισι περικτιόνων ἀνθρώπων
ὅς τις ἐπὶ σταθμοὺς ἤδ' ἀμφὶ δόμον ἵξοι
θήκατο πυγμαχίης ὑπὸ δ' ὅπλα περιθῆναι·
τὸν μὲν ἄρ' ἤσω στεβὴν κρατερὸς πολυδεύκης
τύψας ἀπροφάτως κεφαλὴν σκληροῖσιν ἱμᾶσι
λαοὺς δ' αὖ βεβρύκων μινύαι χαλκῷ κατένηραν·
ἔνθα δ' ἀφορμηθέντες, ὑπ' εἰρεσίῃ δὲ καμόντες
βιθυνῶν μέγα ἄστυ πλατείῃ κέλσαμεν ἀκτῇ·
σπεύδοντες προχοαῖς ἠδ' ἀντιφάρῃσιν ὕλαις.
ἕσπεροι αὐλισθέντες ἐφοπλισάμεσθα δόρπον
ἔνθα τότ' αἰνόγαμος φινεὺς ὑπερήνορι θυμῷ
δοιοὺς ἐξαλάωσε γόνους, προβλῆσι τε πέτραις
θηρσὶν ἑλὼν πρύθηκε γυναίων εἵνεκα φίλτρων·
τοὺς δὲ καὶ ἀσκηθεῖς ὀπωπότας αὖθις ἔτευξαν.
παῖδε κλυτοῦ βορέω, φινεῖ δ' ἄρα ὤπασαν ἄτην
ἀργαλέοιο κότου, φωτὸς δ' ἀπενόσφισαν αὐγάς.
Αὐτὰρ ἔπειτα ζαμενὴς βορέης προφάδῃσιν ἀέλλαις.
ἁρπάξασ' ἐκύλινδεν ὑπὸ δρυμὰ πυκνὰ καὶ ὕλας
βιστονίης. ἵνα κῆρ' ὀλοὴν καὶ πότμον ἐπίσπῃ.
Αὐτὰρ ἔπειτα φινῆος ἀγορίδαο λιπόντες
αὖλιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης ἐξικόμεσθα·
ἀγχοῦ κυανέαις πέτραις· ἅς μοι ποτὲ μήτηρ
ἡμετέρη κατέλεξε περίφρων καλλιόπεια·
οὐ γάρ οἱ ἐξυπάλυξις ὀϊζυροῖο πόνοιο.

ἀμὰ κυθερυμέναι ἀνέμων ῥιπῇσιν ἀέλλαις
ξυμβλῆτες πίπτουσιν ἐπ' ἀλλήλαισιν ἴσαι·
δοῦπος τ' ἀμπέλαγός τε καὶ οὐρανὸν εὐρὺν ἵκανεν
ῥηγνυμένοιο κλύδωνος· ὀρινομένης τε θαλάσσης
κύματι παφλάζοντι περιβρέμεται ἄσπετος ἅλμη.
ἀλλ' ἐγὼ ἀντιώδη τὰς δ' ἀπὸ γλαυκῆς ἀνόρουσα·
πρύμναν ἔπειθ' ὁρέειν, ὄφρ' ἂν πεφυλαγμένος εἴη
τίς δὲ, καὶ εἰσαΐοντος ἐπαχνώθη φίλον ἦτορ
ἐν στέρνοισι δὲ κεῦθεν ἃ οἱ τελέεσθαι ἔμελλεν.
μοῦνος ἀφ' ἡρώων ἀμὰ γλαυκῶπις ἀθήνη.
ἥρης ἐννεσίῃσιν ἐρωδιὸν ἧκε φέρεσθαι.
ἄκρην ἱστοκεραίαν· ὁ δ' ἀγχαλόων πεπότητο.
πέτραις δ' ἐν μυχάτοισιν ὑπὸ πτερύγεσσιν ἀερθείς·
δινεῦνται ταὶ δ' αἶψα κραδαινόμεναι ἑκάτερθεν
σύμπεσον ἀλλήλαισι. καὶ οὐρῆς ἄκρον ἔκερσαν
ὄρνιθος· περὶ δέ σφιν ἐτώσιον ἠρήσαντο
τῖφυς δ' ἶα προλιπόντος ἐρωδιοῦ αἰπὺν ὄλεθρον
σῖγα μὲν ἡρώεσσιν ἐκέκλετο· τοὶ δ' ἀΐοντες
ἱέμενοι θοὰ κύματ' ὑπειρεσίῃσι χάρασσον.
Αὐτὰρ ἐγὼ μολπῇσι παρήπαφον ἡμετέρῃσι
πέτρας ἠλιβάτους, αἳ δ' ἀλλήλων ἀπόρουσαν
κῦμα δ' ἀντερρόχθησε βυθὸς δ' ὑποείκαθε νηὶ
ἡμετέρῃ πίσυνος κιθάρῃ διὰ θέσκελον αὐδὴν
ἀλλ' ὅτε δὴ πορθμοῖο κατὰ στόμα καὶ διὰ πέτρας
κυανέας ἤμειψε λάλος τρόπις, αὐτίκ' ἄρ' αἶγε
βυσσόθεν ἐρρίζωντο καὶ ἔμπεδον αἰὲν ἔμιμνον,
οὕτω γὰρ μοῖραι τάδ' ἐπεκλώσαντο βαρεῖαι
καὶ τότε δὴ προφυγόντες ἀϊδνέα πήματ' ὀλέθρου
ῥήβαντος προχοῇσι μέλαιν' ἐξικόμεθ' ἀκτὴν
νῆσον ὑπὲρ δολιχὴν θυνίδα τῆς ἀπάτερθεν

τέμβριος ἰχθυόεις βαλβῖσι πλημμύρεται ὄχθαις.
σαγγάριός θ' ὃς κύματ' ἐπιβρέχει ἀξείνοιο
αὐγ' ὅτ' ἐπ' αἰγιαλῶν ἐπινησάμεθ' εἰρεσίῃσιν
ἀμφὶ λύκοιος ῥέεθρον ἐκέλσαμεν, ὦ ἔπιλα δὴ
κραίνει λύκος ποταμοῖο ἐπώνυμος, ὅς ῥ' ὑπέδεκτο
ἥρωας μινύας, ξενίῃ δ' ὑπέδεκτο τραπέζῃ.
φίλατο δ' αὖ νύκτας τε καὶ ἤματα συνεχὲς αἰεὶ
ἔνθα καὶ αἶσα παρέχε καταφθίσθαι δύο φῶτας
ἀμπυκίδην ἴδμωνα κυβερνητῆρα τε τῖφυν
τὸν μὲν, δὴ κατὰ σῶμα λυγρὴ ἠρείσατο νοῦσος
τὸν δ' ἔκτανε θήρσυς ἄγριος. αὐτὰρ ὃ τοῖς γε
τύμβους χευάμενοι πολιὴν ἐπένησαν θαλλὴν.
αἰγαίῳ πίσυνοι, ἐν γὰρ φάσαν ἴδμω ἅπαντες
ναυτιλίης σφετέρῃσι δαημοσύνῃσι κεχάσθαι.
Αὐτὰρ πηδαλίων οἰήια λάζετο χειρὶ
νῆα κατιθύνων ἐπὶ παρθενίοιο ῥέεθρα
ὃν δὴ καλλίχορόν μιν ἐπώνυμον οἱ καλέουσιν
ὅν τοι ἐγὼ μύθοισιν ἐπὶ προτέροισιν ἔλεξα
ἔνθεν ἄκρας προβλῆτα παραπλώσαντες ἔβημεν
γῆν ἐπὶ παφλαγόνων τῶν δὴ παράμειψε θέουσα
ἀργώ, ὑπὲρ μέγα λαῖτμα καραμβιάκην δ' ἵκετ' ἄκρην
ἣ ἐπὶ θερμώδων κεῖται, ἅλυός τε ῥέεθρον
βάλλον ἐπ' αἰγιαλὸν δίνας ἁλιμυρέας ἕλκον.
νέρθε δ' ὑποθρώσκουσι βορειάδος ἀντίον ἄρκτου
μακρὰ θεμισκύρης βοιαντίδος ἄψεα κεῖται.
ἀγχι δ' ἀμαζονίδων δαμνίππων ἄστεα κεῖται.
καὶ χάλυβες συβαρῆνά τ' ἔθνη λαοί τ' ἐπὶ χερσὶ
μίγδην ἐν μοσσύνοισι πέδον τριναιετάουσι.
λαιὰ δ' ἐπιπλώσαντες ἐκέλσαμεν αἰγιαλοῖσι.
ἢ χίτε μαῦροι ἔσαν μαριανδυνοῖσιν ὅμηροι

νέρθε δὲ τοι ἑλίκης, δολιχὸς παραπέπταται αὐχὴν
ἔνθα δ' ὑπωρείῃσιν ἐπὶ προβλῆσι κυκλοῦνται
τηλεφανεῖς αὐλῶνες ὑπὲρ μυχὸν εὐρέα κόλπου
οὗ σύμης ὄρος ἐστὶ, πολύς τ' εὐθαλὴς λειμών
ἔνθα δ' ἀράξου ῥεῦμα μεγαβρεμέτου ποταμοῖο
ἐξ οὗ θερμώδων, φᾶσις, τάναΐς τε ῥέουσιν.
οὗ κόλχων κλυτὰ φῦλα καὶ ἡνιόχων, καὶ ἀράξων.
ὃν παραμειβόμενοι μυχάτοις ἐπεπλέομεν ὅρμοις.
θρῶν. χειλαίων τε χαρανδαίων. σολύμων τε.
ἀσυρίων. τιλέων ποιηχὼ δ' ἀγκῶνα σινώπης
καὶ φιλύρας ναίοντας τε καὶ ἄστεα πυκνὰ σαπείρων,
βύζηράς τ' ἐπὶ τοῖσιν ἰδ' ἄξενα φῦλα σιγύμνων.
ἶπτο δ' ὑπὸ πνοιῇς ἀνέμου πολυΐστιος ἀργὼ
ὄρθριον ἐρχομένης ἠοῦς ἐπ' ἀπείρονα κόσμον
ἕσπερ' ἐπ' ἀξείνου φᾶσιν κατὰ καλλιρέεθρον.
ἀγκαῖος δ' ἤτοι γε παραιφάμενος ἐπέεσσι.
λαίφεά τε στέλλειν, καὶ ἐπ' ἰκρίων αὖθι χαλάσσαι.
ἱστὸν ἀνακλίναντας. ὑπ' εἰρεσίῃ δὲ νέεσθαι.
Αὐτὰρ ἐπεὶ ποταμοῖο διὰ στόμα πρηὺ ῥέοντος
ἱκόμεθ' αὐτίκ' ἄρα στέφανον καὶ τεῖχος ἔρυμνον
αἰήτου κατέφαινε καὶ ἄλσεα. τοῖς ἔπι κῶας
χρύσειον ἠώρητο χαλαζαίῃ ἐπὶ φηγῷ
ὡς οἱ μὲν, τὰ ἕκαστα πονέατο, αὐτὰρ ἰήσων.
αὐτίκα μερμήριζε κατὰ φρένα καὶ κατὰ θυμόν.
ξυνὴν μὲν μινύαισιν ἄδην ἀνεκέκλετο φωνήν.
ἤέ γ' ἐπ' αἰήταο μόλοι δόμον οἶος ἀπ' ἄλλων
μειλιχίοις στέρξῃ τε παραιφάμενος ἐπέεσσιν,
ἠὲ μεθ' ἡρώεσσι καὶ ἐς μόθον αὐτίκα λύσσοι
ἀλλ' οὐ γὰρ μινύαισιν ἐήνδανε πᾶσι νέεσθαι.
δεῖμα δ' ἐνὶ φρεσὶ θῆκε θεὰ λευκώλενος ἥρη,

ἀμβολίην δ' ἵνα δή τι λέσῃ τάπερ αἶσα γενέσθαι.
ὦκα δ' ἄρ' οὖλον ὄνειρον ἀπ' οὐρανοῦ ἧκε φέρεσθαι
εἰς δόμον Αἰήταο. συθεὶς δ' ὅγε δεῖμα πέλωρον
ἔσκηψεν βασιλῆα περὶ φρένας ὄσσιν ἔδοξε
παρθένου ἣν ἀτίταλλεν ἐνὶ μεγάροισιν ἑοῖσι.
μηδείας κόλποισιν ἐν ἱμερτοῖσι συνῆται.
ἀστέρα παμφανόωντα διὶ ἠβίοιο πορείης.
ἣ δ' ἐπεὶ ἐν πέπλοισι λάβεν χαρηότι θυμῷ
ἧκε φέρουσ' εἰς χεῦμα ἐϋρρύτου ποταμοῖο
Φάσιδος. ἀστέρα δ' αἶψ' ἀναρπάξαντα ῥέεθρον.
ἕλκεσθαι πόντοιο δι' ἀξείνοιο φέροντα
ταῦτα δ' ἐσαθρήσας, δολίου ἐξέρυτο ὕπνου.
ἀπροφανὲς στυγερὸν δὲ περὶ φρένας εἴλυτο δεῖμα
ἆλτο δ' ἄρ' ἐξ εὐνῆς. δμωσὶ δὲ οἱ ὦκ' ἐπέτελλεν
ἵππους ἐν τάχει ὑπὸ δὲ ζεύξασθαι ἀπήνην.
ὄφρα κε μειλίξαιτο κιὼν ἐπὶ ῥεῖθρον ἐραννὸν.
Φᾶσιν δινήεντα. σὺν ἐνδαπίης μέγα νύμφας.
ψυχάς θ' ἡρώων ὅσσαι τ' ἐπὶ ῥεῖθρον ἄμειβον.
θυγατέρας δὲ ἐκάλυζε θεουδέος ἐκ θαλάμοιο
Χαλκιόπην σὺν παισὶν ἀποφθιμένου Φρίξοιο.
ἠδ' ἀταλὴν Μήδειαν ἀριπρεπὲς εἶδος ἔχουσαν
παρθένον αἰδοίην. ὄφρ' ἂν συνέποιντο κιόντι.
ἄψορρος δ' ἀπάνευθε δόμους ναίεσκε πόληος.
ἅρμα δ' ἐπὶ χρύσειον ἔβη μέγα θυγατέρεσσιν.
Αἰήτης. τὸν δ' αἶψα διὲκ πεδίον φέρον ἵπποι.
χεῖλος ὑπὲρ ποταμοῦ δονακώδεος ἔνθά περ αἰεὶ
εὐχωλὰς ῥείθροισι καὶ ἱρὰ κάλ' ἐκόμιζον.
κέντασι δ' ὄχθαισιν ὑπόδρομος ἤλυθεν Ἀργώ,
καί ῥα τότ' Αἰήτης ἐσέδρακεν ἐν δ' ἄρα πολλούς.
ἐξείης ἥρωας ὁμιλαδὸν ἑδριόωντας

ἀθανάτοις ἴκελος. πρὸ γὰρ ῥά τ' αὐγὰ λάμπε·
τοῖσι δ' ἄρ' ἐν πάντεσσι μετέπρεπε δῖος ἰήσων.
ἥρη γὰρ περὶ πάμπαν ἐτίετο. καί οἱ ἔδωκε
κάλλος τε μέγεθός τε καὶ ἠνορέην ὑπέροπλον·
ἀλλ' ὅτε δὴ σχεδὸν ὄντες ἐπ' ἀλλήλοις βάλον ὄσσε·
αἰήτης μινύαι τε περὶ φρένα παχαώθησαν·
πρόσθε γὰρ αἰήτης μὲν ἐφ' ἅρμασιν ἠέλιος ὥς·
λάμπετο μαρμαρυγαῖσι πέρι χρυσέων ἀπὸ πέπλων
ἀμφὶ δέ οἱ στεφάνην κεφαλὴ ἔχε θυσανόεσσαν·
ἀκτῖσιν φλογέαις. σκῆπτρον δ' ἐν χερσὶν ἐνώμα·
ἀστεροπαῖς ἴκελον. δοιὼ δ' ἑκάτερθεν ἴησαν
θυγατέρες. ταῖς γάρ κεν ἀγαλλόμενος πεφέρητο·
σμερδνὸν ὑπ' ὀφθαλμοῖσι δ' ἐσέδρακε νηὶ πελασθείς.
καί οἱ ἀπὸ στηθέων βριαρὴν ἀνενείκατο φωνήν.
δεινὸν ὁμοκλήσας· μέγα δ' ἀντιάχων ἐγεγώνει.
φράζετον οἵτινές ἐστε. τί δὲ χρέος ὑμᾶς ἱκάνει·
ἢ πόθεν ἐλθομένοισι κυτηΐδα γαῖαν ἀμεῖψαι.
οὐδ' ἄρ' ἐμὴν ἀλέγοντες ἀνακτορίων πεφόβησθε.
οὐδὲ λεὼν σκήπτροισιν ἐπίρροθον ἡμετέροισι
κόλχων, οἵκεν ἄρηι δορυσσόῳ ἴσοιν ἀτρεῖς
μόθον ἱεμένοις· εὖ εἰδότες ἶφι μάχεσθαι.
Ὡς ἔφαθ' οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ·
αἰσονίδῃ δ' ἄρα θάρσος ἐνὶ πραπίδεσσιν ἔθηκεν
ἥρη πρέσβα θεά· μέγα δ' ἀντιάχων ἐγεγώνει.
οὔτε ληιστῆρες ἱκάνομεν οὔτε τιν' ἄλλην
γαῖαν ἐπιστρωφῶντες ἐγείρομεν ὕβριος αἶσαν.
ἔργ' ἀδίκ' ἀνθρώποισιν ἃ δὴ πολέες μεμάασι·
τετλάμεν ἐν βιοτῇ κέρδους ἕνεκεν σφετέροιο
ἀλλά μοι ἄθλον ἔταξε ποσειδῶνος φίλος υἱός
πατροκασίγνητος πελίας. χρύσειον ποτὶ κῶας·

ἀζομένους ἀφικέσθαι ἐϋκτιμένην ἐς Ἰωλκόν.
οὐδέ τι δὴ νώϊν μοι ἐμοὶ ἐρίηρες ἑταῖροι.
οἱ μὲν γὰρ μακάρων· οἱ δ' ἡρώων γένος ἐστὶ μὲν
οὐδέ τι μὴν πολέμων ἀδαήμονες, οὐδὲ μόθοιο
ξεῖνοι δ' εὐχόμεθ' εἶναι ἐφέστιοι ὥς γὰρ ἄμεινον.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸς ὀρίνετο ἶσος ἀέλλῃ
αἰήτῃ· καὶ σμερδνὸν ἐσέδρακεν ὀφθαλμοῖσιν.
φρικτὸν ἐφ' ἡρώεσσι δόλον καὶ μῆτιν ὑφαίνων.
ὀψὲ δὲ δὴ μινύαισι τοίην ἀντενέικατο φωνήν.
ἦ μὲν δὴ κόλχοισιν ἀρηϊφάτοισιν ἐσάντα·
μαρναμένοις ἐπιθῆσθον, ἀποφθίσειν μένος ἀνδρὰς
ἔλπεσθ' ὥσπερ ἀδήριτον γέρας ἔσσετ' ἐν ὑμῖν·
πῶας ἀειρομένους ἰέναι πρὸς πατρίδα γαῖαν.
εἰ δέ γε ταῦροι ἐόντες ὑπὸ κλίνη τε φάλαγγι
ἡμετέροι· τότε νῆα καταφθιμένοισι κεάξαι.
εἰ δὲ κέ μοι πείθησθε, τὸ καὶ πολὺ κέρδιόν ἐστι·
κρίναντες τιν' ἄριστον ἢ ὃς βασιλεύτερός ἐστι·
ὄφρά κε πειρηθεὶς ἀέθλων ὧς αὐτὸς ἐνίσπω.
πῶας ἕλῃ χρύσειον, ὃ καὶ γέρας ἔσσεται ὑμῖν·
Ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο, τοὶ δ' ἄρ' ὀπίσσω
βῆσαν ἀμειβόμενοι. μινύαις δ' ἄχος ἔπλετο θυμῷ
καί ῥα τόθ' ἡρακλῆος ἔχον πόθον, οὐ γὰρ ἔμιμνον.
ἔθνος ἀμαιμάκετον κόλχων, καὶ θούριον ἄρην.
νῦν δέ σοι ὦ μυσοῖς παραδρομάδην ἀγορεύσω·
οἷα πρὸ αἰνόμοροι μινύαι πάθον ἠδ' ὅσ' ἔρεξαν·
ὥς τ' ἀψόρρος ὄρουσ' ἐκ δώματος αἰήταο·
ἄργος ἐϋμμελίης φρίξου πάϊς, ὃν ῥα ἔτικτε.
χαλκιόπη· τοῦ γὰρ παρελέξατο πατρὸς ἕκητι·
ἡνίχ' ὑπὲρ νώτῳ κριοῦ κόλχοισι πελάσθη.
ἀγγέλλων μινύαισιν, ἃ δὴ τελέεσθαι ἔμελλε.

σφῆσιν ἀτασθαλίῃσι πολυφθόρου αἰήταο·
ἠδ' ὡς παρθενίοις αὐτοῦ φίλτροις ἐδαμάσθη·
αἰνόγαμος μήδεια θεᾶς ἥρης διὰ βουλάς·
ἐν γάρ οἱ ἵμερον ὦρσεν ἐρωτοτρόφος κυθέρεια.
ἧκε δ' ἄρ' ἰὸν ὑπὸ σπλάγχνοις δασπλῆτις ἐριννύς·
ὥστε βόας ζεύγλαισι δαμάσσατο πυρὶ πνέοντας·
τετράγυον θέμενος σπόρον αὔλακι τόν ῥ' ἐκόμισσε·
φρίξος ἀμειλίης, ὅτ' ἔβη δόμον αἰήταο.
ἔδνον ἐνυάλιόν τε δρακοντείων ἀπ' ὀδόντων.
ἠδ' ὡς δυσμενέων σπαρτῶν στίχας ἐξενάριξεν,
αὐτοφόνῳ παλάμῃ· πῶς δ' ἀγλαὸν ἤρατο κῦδος
αἰσονίδης· ὥς τ' ἦλθε δ' ἐκ μεγάρων λελαθοῦσα.
λῆτι καλυψαμένη ἑανῷ διὰ νυκτὸς δι' ὄρφνην,
παρθένος αἰνολεχής· περὶ γάρ ῥα ἐτεῖρον ἔρωτες
νηὸς ἐπ' ἀργῴας πελάσαι. καὶ πότνι' ἀνάγκη
ἔτιν' ὀπιζομένη πατρὸς χόλον οὐκ ἀλέγουσα.
ἠδ' ὡς ἀμφιπλακεῖσα περιπτύξασά τε μορφάς·
στέρνά τε μαιμώωσα κύσεν, χαρίεν τε πρόσωπον.
δάκρυσι πλημμύρουσα γενειάδας οὐδέ τιν' αἰδῶ
ἔσχε πόθων ἥρωας· ἐλαυνομένη δ' ὑπὸ φίλτρων·
παρθενίην ἔρριψε· γάμων τ' αἰνήνορα θυμόν.
ἄλλα τ' αὖ πολλὰ καὶ ἐσύστερον αὖθις ἀκοῦσαι.
ὡς ὅτε δὴ μήδεια λίπεν δόμον αἰήταο
λαθριδίη· καὶ νηὸς ἐφ' ἡμετέρης ἐπελάσθη,
δὴ τότ' ἄρα κατὰ θυμὸν ἐμηδόμεθ' ὄφρα μολόντες
ἀμφὶ ῥῆς φηγοῖο δέρας χρύσειον ἕλωμεν.
ῥᾶστα περὶ φρεσὶ δ' ἦσι δοκεύμεθα, οὐδέ τις ἡμῶν
ἔγνω μόχθον ἄελπτον, ἐφέσσατο γὰρ μέγα ἔργον
πᾶσιν ἐφ' ἡρώεσσι, κακῶν δ' ἀνεφαίνετο πυθμήν.
πρόσθε γὰρ αἰήταο δόμων ποταμοῖό τ' ἐρυμνῆ

ἐννὲ ἐπ' ὀργυιῶν ἕρκος περιμήκετον ἄντην
φρουρεῖται πύργοισι καὶ αἰξέστοισι μύδροισιν
ἑπτὰ περιστεφάνοισι κυκλούμενον, ἐν δ' ἄρα τρισσαὶ
χαλκήρεις πυλαὶ εἰσὶ πελώριοι· ἐν δ' ἄρα ταῖσι
τεῖχος ἐπιθρώσκει· περὶ δ' αὖ χρύσειαι ἐπάλξεις.
Αὐτὰρ ἐπὶ σταθμοῖο πυλῶν πλῶτις ἄνασσα
ἵσταιν αἰθύουσα πυρὸς σέλας, ἥν κέν κόλχοι
ἄρτεμιν ἐμπυλίην κελαδοσκόπον ἱλάσκονται,
δεινήν τ' ἀνθρώποισιν ἰδεῖν, δεινήν τ' ἐσακοῦσαι.
ἤν μή τις τελεταῖς πελάσῃ, καὶ θύσθλα καθαρμῶν.
ὅσσα περ ἀρήτειρα καθάρματα μύστις ἔκευθε
δειμολεχὴς μήδεια κυνηλάσιν μίγα κούραις.
οὐδέ τις ἐνδοτέρω κείνην ὁδὸν εἰσεπέρησεν.
ἐνδάπιος ξεῖνός τε βροτῶν ὑπὲρ οὐδὸν ἀμείψας.
εἴργει γὰρ πάντη δεινὴ θεὸς ἡγεμόνεια.
λύσσαν ἐπιπλείουσα ὑπὲρ χαλινοῖς σκυλάκεσσιν
ἐν δέ σφιν πυμάτων μυχῷ ἕρκιος ἄλσος ἀμείβῃ
δένδρεσιν εὐθαλέεσσι κατάσκιον, ᾧ ἔνι πολλαὶ
δάφναι τ', ἠδὲ κράνειαι, ἰδ' αὖ μήκεις πλατάνιστοι.
ἐν δὲ πόαι ῥίζῃσι κατηρεφέες χθαμαλῇσιν.
ἀσφόδελος, κλύμενός τε, καὶ εὐειδὴς ἀδίαντος.
καὶ θρύον, ἠδὲ κύπειρον, ἀριστερεών τ' ἀμενηνά.
ὅρμινόν τε, καὶ ἐρύσιμον, κυκλάμις τε θεουδής.
στοιχὰς, παιονίη τε κατερνές τε πολύκνημον.
μανδραγόρης, πόλιόν τ', ἐπὶ δὲ ψαφαρὸν δίκταμνον
εὔοδμός τε κρόκος ἰδὲ κάρδαμον, ἐν δ' ἄρα κῆμος
σμίλαξ, ἠδὲ χαμαίμηλον, μήκων τε μέλαινα
ἄλκυα, καὶ πάνακες καὶ κάπασον, ἠδ' ἀκόνιτον.
ἄλλα τε δηλήεντα κατὰ χθόνα πολλὰ πεφύκει
μέσον δ' ἠερόμηκες ἐπὶ στύπος ἄλσεϊ πολλῷ.

ἤπλωται φηγοῖο πέριξ κλαδεῶσιν ἐρυμνὸν
ἐν δ' ἄρα οἱ χρύσειον ἐπεκρέματ' ἔνθα καὶ ἔνθα
ἄρτηκος παναῖοιο δέρας, τόκεν αἶψα δοκεύει
δεινὸς ὄφις θνητοῖς ὀλοὸν τέρας οὐ φατὸν εἰπεῖν
χρυσαῖς γὰρ φολίδεσσιν ἐθείρεται· ἐν δ' ἄρα πρέμνον
ἀπλάτοις ὁλκοῖσι φορεύμενος ἀμφιπολεύει
σῆμα χαμαιζήλοιο Διὸς, ποτὶ κῶας ἀμείβων
φρουραῖς ἀδμήτοις δ' ἐπιμαίεται ἄμμορος ὕπνου
γλαυκοῖς ἀμφ' ὄσσοισιν ἀναιδέα κανθὸν ἑλίσσων.
Αὐτὰρ ἐπεὶ κλύομεν τόδ' ἐπήτυμον ὡς ἐτέτυκτο
ἀμφίγε μὲν νεχίης ἐχέτης φρουρῆς τε δράκοντος
πάνθ' ὅσα οἱ κατέλεξεν ἀριφραδέως μήδεια
διζόμεθ' ἠμὲν ἄελπτον ὀϊζυροῖο πόνοιο
ὡς κεῖνην ἀγροτέρην μηχαξάμενοι πεπίθοιμεν.
ἠδ' ὡς θῆρα πέλωρον ἱκοίμεθα, τόφρ' ἀνελόντες
δέρμ' ἀπονοστήσωμεν ἐὴν ἐς πατρίδα γαῖαν
καὶ τότε δὴ μετὰ πᾶσιν ὁμόκλεεν ἡρώεσσι
μόψος· ὁ γάρ τ' εἴδει σφῆσι τάδε μαντοσύνῃσιν
ὄφρ' ἐμὲ γνώσωνται ἐπιστείβωσι δ' ἔργον.
ἄρτεμιν ἱλάσθαι θέλξαι δ' ὑπερήνορα θῆρα
ὡς οἱ μὲν λίσσον τοπρὶν σταδόν, αὐτὰρ ἔγωγε
αἰσονίδην ἐκέλευσα δύω δὴ φῶτε κραταιὼ
κάστορά θ' ἱππόδαμον, καὶ πὺξ ἀγαθὸν πολυδεύκεα
μόμψον τ' ἀμπυκίδην ἰέναι παρὸς τέρματα μόχθου
Αὐτὰρ ἐμοὶ μήδεια συνέσπετο μούνη ἀπ' ἄλλων
ἡνίκα δ' εἰς σηκοὺς ἱκόμην ζάθεόν τε θεράπνην
χῶρον ἐπὶ πλακόεντι βόθρον τρίστοιχον ὄρυξα.
φιτροὺς τ' ἀρκεύθοιο καὶ ἀζαλέης ἀπὸ κέδρου.
ῥάμνου τ' ὀξυτέροιο πολυκλαύτων τ' αἰγείρων
ὦκα φέρων ἔνησα πυρὴν ἔμπροσθε βόθροιο.

πολλὰ

πολλὰ δέ μοι φέρε πάμπαν, ἐπισταμένη μήδεια
φαρμάκων ἀνελοῦσα θυώδεος ἐξ ἀδύτοιο.
αὐτίκα δ' εὐλαοπλάσματα θ' ὑπὸ πέπλοις ἐπονάμην
ἐν δὲ πυρὴν ἐπέβαλλον, ἰδ' ἔντομα θύματ' ἔρεζον
σκύμνους παμμέλανας σκυλάκων τρισσοὺς ἱερεύσας,
αἵματι δ' αὖ χάλκανθον ἰδὲ στρούθιον ἔμιξα
κνῆκόν τε, σχιστὴν, ἐπί τε ψύλλιον ἀναιδές.
ἄγχουσάν τ' ἐρυθρὴν, ἰδὲ χάλκιμον, αὐτὰρ ἔπειτα
νηδύας ἐμπλήσας σκυλάκων, φιτροῖσιν ἔθηκα.
ὕδατι ἐξ δ' αἷμας χολάδας χεόμην περὶ βόθρον
ὄρφνι τάδ' ἑσσάμενος φάρη, καὶ ἀπεχθέα χαλκὸν
κρούων ἐλλισάμην, αἳ δ' ὀπταλέως ἐπάκουσαν.
ῥήξασαι κευθμῶνας ἀμειδήτοιο βερέθρου
τισιφόνη τε, καὶ ἀλληκτὼ, καὶ δῖα μέγαιρα.
πεύκαις ἀζαλέαις φόνιον σέλας αἰάσσουσαι.
καίετο δ' αὐτίκα βόθρος, ἐσμαράγει δ' ὀλοὸν πῦρ.
λιγνὺς δ' αἰθαλόεσσα χύθη περιμήκετα καπνόν.
αὐτίκα δ' ἐξ ἀΐδαο διὰ φλογὸς ἠγέρθησαν
δειναὶ, θαμβήτειραι, ἀπηνέες, ἀπροσόρατοι.
ἡ μὲν τὸρ, δέμας ἔχε, σιδήρεον, ἣν καλέουσι
πανδώρην χθόνιοι, σὺν δ' αἰολόμορφος ἔκαινε
τρικέφαλος, ἰδεῖν ὀλοὸν τέρας, ἔτι δακτόν.
ταρταρόπαις ἑκάτη. λαιῷ δ' ἄρ' ἐπέσσυθεν ὤμου
ἵππος χαιτήεις· κατὰ δεξιὰ δ' ἦεν ἀθρῆσαι
λυσσῶπις σκυλάκη· μέσση δ' ἔφυ ἀγριόμορφος.
χερσὶν δ' ἀμφοτέραις ἔχεν ἄορα κωπήεντα.
ἐγκύκλιαι δὲ δινεῦντο περὶ βόθρον ἔνθα καὶ ἔνθα
πανδώρη, ἑκάτη τε. συνεσκαίροντο δὲ ποιναί.
ἐκ δ' ἄφαρ ἀρτέμιδος φρουρὸν δέμας ἧκε χαμᾶζε

πάλησ' ἐκ χειρῶν, τὸ δ' οὐρανὸν ἤραρεν ἀϋτή,
σαῖνον δὲ σκύλακες πρόπολοι, λύοντο δ' ὀχῆες
κλήθρων ἀργυρέων, ἀνὰ δ' ἔπτατο καλὰ θύρετρα
τείχεος εὐρυμενοῦς· ὑπεφαίνετο δ' ἄλσος ἐρυμνόν·
Αὐτὰρ ἐγὼν ὑπὲρ οὐδὸν ἔβην· πρῶτος δέ τε κούρη
αἰήτεω μήδεια· καὶ αἴσονος ἀγλαὸς υἱός.
τυνδαρίδαι τ' ἤπειγον ὁμοῦ, σὺν δ' ἕσπετο μόψος.
ἀλλ' ὅτε δὴ σχεδόθεν κατεφαίνετο φηγὸς ἐραννή,
κρηπίς τε ξενίοιο διός, καὶ βώμιος ἔδρον·
ἔνθα δράκων ὁλκοῖσιν ὑπὸ πλατέεσσιν ἑλιχθεὶς
δινάων ἀνάειρε κάρα, βλοσυρόν τε γένειον
ἐκ δ' ὀλοὸν σύριξεν, ἐπὶ δ' ἔβραχεν ἄσπετος αἰθήρ·
δένδρεα δ' ἐσμαράγησε κραδαινόμεν' ἔνθα καὶ ἔνθα
κρημνόθεν ἐκ ῥίζης, ἰάχησε δὲ σύσκιον ἄλσος·
αὐτὰρ ἐμεῖ' ἑτάρους τρόμος ἔλλαβε, νόσφι δὲ μούνη
μήδει' ἐνὶ στέρνοις ἀκάμπτεα θυμὸν ἐώμεα·
δρέψατο γὰρ παλάμῃσι λυγρῶν ἀποθρίσματα ῥιζῶν·
καὶ τότ' ἐγὼ φόρμιγγος ἐφήρμοσα θέσκελον ὀμφὴν,
κλάγξα δ' ἄρ' ἐξ ὑπάτης χέλυος καρυηχέα φωνὴν
σιγαλέως ἀρθέγκτον ἐμοῖς ὑπὸ χείλεσι πέμπον.
κλῆξα γὰρ ὕπνον ἄνακτα θεῶν, πάντων τ' ἀνθρώπων,
ὄφρα μολών, θέλξειε μένος βριαροῖο δράκοντος·
ῥίμφα δέ μοι ὑπάκουσε, κυταΐδα δ' ἦκ' ἐπὶ γαῖαν·
κοιμίσας δ' ὅγε φῦλα πανημερίων ἀνθρώπων
καὶ ζαμενεῖς ἀνέμων πνοιάς, καὶ κύματα πόντου,
πηγάς τ' ἀενάων ὑδάτων, ποταμῶν τε ῥέεθρα,
θῆράς τ' οἰωνούς τε, τά τε ζώει τε, καὶ ἕρπει
ἀμπάζων ἄμειψεν ὑπὸ χρυσέαις πτερύγεσσιν.
ἷξε δ' ὑπὸ στυφελὸν κόλχων ἀνθεία χῶρον·

κῶμα δ' ἄφαρ κατέμαρψε πελώριον ὄσσε δράκοντος,
ἰσοπαλὲς θανάτῳ, δολιχὴν δ' ἀμφ' αὐχένι δειρὴν
θῆκε καρηβαρέων φολίσιν. θάμβησε δ' ἰδοῦσα
αἰνόποτμος μήδεια, καὶ αἴσονος ἀγλαὸν υἷα
ἦκ' ἐπιθαρσύνουσα θοῶς πρέμνοιο λαβέσθαι
κῶας χρυσεόμαλλον, ὃ δ' οὐκ ἀπίθησεν ἀθρήσας.
αὐτὰρ ἀειράμενος δέρας ἄπλετον, ἦντ' ἐπὶ νῆα.
ἥρωες μινύαι μέγ' ἐγήθεον, ἂν δ' ἄρα χεῖρας
ἀθανάτοις ἤειραν, οἳ οὐρανὸν εὐρὺν ἔχουσιν.
ὡς οἱ μὲν περὶ κῶας ὀπώπεον, αἶψα δ' αἰήτης
ἀμφιπόλων ἤκουσεν ἀποιχομένην μήδειαν
ὦκα δ' ἄρ' ἀψύρτῳ ἐπιτέλλετο λαὸν ἀγείρειν.
μαστεύειν δ' ἄρα παῖδα κασιγνήτην καὶ ὄπατρον.
αἶψα δ' ὅς ὠκὺς ἔπειγε παρὰ προχοὰς ποταμοῖο
εἰς λόχον ἡρώων, ἔκιχεν δ' ἄρα παρθένον αἰνήν.
νὺξ δὲ τότ' ἀστροχίτων μέλαινη παρήμειβε πορείαν
ἐκ δ' ἐτελεῖτο δόλος στυγερὸς, καὶ κῆρες ἀϊδναὶ
μηδείης ὑπ' ἔρωτος ἐρικλυτὲ ἀψύρτοιο.
ὃν ῥα κατακτείναντες, ἐπὶ προχοὰς μεθίηκαν
ὀρνυμένου ποταμοῖο· φέρεν δ' ὄγε πνεύματι κραιπνῷ·
θεινόμενος δὲ δίναις, εἰς κῦμ' ἁλὸς ἀτρυγέτοιο
κέλσεν ὑπὲρ νήσων, ἀψυρτίδας ἃς καλέουσιν.
ἀλλ' ἄρα ὅτι λάθον δί' ἐπόψιον, ἠδὲ θέμιστας.
αὐτὰρ ἐπεὶ νηὸς μὲν ἔσω κίον, ἐκ δ' ἑκάτερθεν
ὄχθης πείσματ' ἔκοψαν, ὑπ' ἐρεσίῃς δὲ θοῇσι.
πλεῖον ἐπειγόμενοι ποταμοῦ τάμον, ἔτι κατ' ἰθὺ
πόντον ἐπ' ἰχθυόεντα διὰ στόμα φάσιδος εὐρύ
ἱέμεθ' ἀμπλακίῃ δ' ἐφορεύμεθα πολλὸν ὀπίσω
αἰὲν ἀναπλείοντες, ἐλίπεν δ' ἄστεα κόλχων

ἀφραδίῃσι μινύας, σκοτίη δ' ἔτι ἀμφέχεν ὄρφνη.
Αὐτὰρ ἐπισπόμενοι θοὸν μὲν ῥόον ἀφραδίῃσι
μεσσάτιοι πεδίοιο, βροτοὶ δέ μιν ἀμφινέμονται
γυμνοί, βρεννόμαι τε, καὶ ἄρκυες ἀγροιῶται,
κερκετικόν τ' ἀνδρῶν φῦλον, σιντῶν τ' ἀρβώχων.
ὀιμήσαντο μεσσηγὺ χαρανδαίων τ' αὐλώνων
κασσάκιον παρὰ πρῶνα, διὰ πεύκης ἐρυθείας.
ἦμος δ' ὅτ' ἀπ' ἀντολίης ἐφάνη τερψίμβροτος ἠώς
ποιανθεῖ νήσῳ προσεκέλσαμεν, ἔνθάδε δισσοὶ
χεύμασιν ἀπλώτοισι περισχίζουσι ῥέεθρα
φᾶσίς τ' εὐρυμενὴς, ἀκαλαρρείτης τε σαράγγης.
τὸν ῥα πλημμύρουσα διὰ χθονὸς εἰς ἅλα πέμπει
μαιῶτις καναχηδὸν ἐλαυνόμενον διὰ ποίης.
καὶ τότ' ὑπ' εἰρεσίῃ πλέομεν διὰ νύκτα, καὶ ἦμαρ.
διανεῖς δ' ἐν ψιμόροισι βοὸς πόρον ἐξικόμεσθα
λίμνης· ὅν τε μεσοζύβοο κλόπος ὅπποτε τιτὰν
ταύρῳ ἐφεζόμενος βριαρῷ πόρον ἔσχισε λίμνης.
καί ῥα πανημερίῃσι πονεύμενοι εἰρεσίῃσι
μαιώτας πρώτας ἀφικάνομεν ἀβροχίτωνας,
ἠδὲ γηλωνὸν ἔθνος, βαθυχαίτων τ' ἄπλετα φῦλα.
σαυρομάτας τε, γέτας τε κεγυμναίης, κέκρυφάς τε,
ἀρσωπάς τ' ἀριμάσπας ἔθνη πολυπήμονα λαῶν.
ὧν περιναιετάει ἐπὶ γῇ μαιώτιδα λίμνην.
Αὐτὰρ ἐπεὶ κέντροισι δύην ἀμέγαρτον ἔθηκαν
ἀθάνατοι, τύματον δὲ βυθοῦ διαμείψαμεν ὕδωρ
ὄχθῃσι χθαμαλῇσιν ἀποβλύει αἰπὺν ὄλεθρον
ῥοίζῳ ἐλαυνομένη· καναχεῖ δέ τοι ἄσπετος ὕλη.
ἀρκτῴοις πράπεσιν ἐπέρχεται ὠκεανὸν δέ.
τῷ ῥα τότ' ἁρπαχθεῖσα διὰ στόματος κίεν ἀργώ.

ἐκ δὲ τῶν νύκτας τε καὶ ἤματα μοχθίζοντες
λεῖπομεν ἔνθα καὶ ἔνθα, βροτῶν ἀπηνέα φῦλα
παντοίων ἀρκτῴων τε γένος, Λελίων τ' ἀγερώχων.
τοξοφόρους τε Σκύθας Ἄρεος τε στοὺς θεράποντας,
Ταύρους τ' ἀνδροφόνους, οἳ ἀμειδέα εὔαθλα φέρουσι
μουνυχίῃ βροτέῳ δ' ἐπιλείβεται αἵματι κρητήρ.
ἐν δ' ἄρ' Ὑπερβορέους Νομάδας, καὶ Κάσπιον ἔθνος.
Αὐτὰρ ἐπεὶ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
ῥιπαίους αὐλῶνας ἐπήλσαμεν, ἐκ δ' ἄφαρ Ἀργὼ
ἄλλην ἐπιπροθέουσα διὰ στεινοῖο ῥεέθρου.
ἔμπεσεν Ὠκεανῷ, Κρόνιον δέ ἑ κικλήσκουσι
πόντον Ὑπερβορέην μέροπες, νεκρήν τε θάλασσαν.
οὐκέτι δὲ προφυγεῖν ἐδοκοῦμεν λυγρὸν ὄλεθρον,
εἰ μὴ ἄρ' ὁρμαίνουσαν ὑπὸ κραταιῷ φι βίηφι
νῆα μολεῖν ἰθὺ ἐπὶ δεξιὸν αἰγιαλοῖο
Ἀγκαῖος ξεστοῖσι πιθήσας πηδαλίοισιν.
ἣ δ' ἔθορεν διαναῖσι βιησαμένη παλάμῃσιν.
ἀλλ' ὅτε δὴ μογεροῖσιν ἐδάμνα μιν θ' ἠρεσίῃσι.
χεῖρες δ' οὐκέτ' ἔμιμνον, ἀπηχέμενοι δὲ φίλον κῆρ
πήχεας ἀμπλέξαντες, ἐπηρήσαντο μέτωπα.
ἱδρῶ ἀναψύχοντε, κέαρ δ' ἐπετείρετο λιμῷ.
Ἀγκαῖος δ' ἐξ ἆλτο, καὶ ἄλλους πάντας ὄρινεν
ἥρωας μαλακοῖσι παραιφάμενος ἐπέεσσιν.
οἱ δ' ἐπεὶ δύο τέταγόν τε πολυστρέπτοισι κάλωσι
βάντες ὑπὲρ τοίχων ἅλα δ' ἐς φυρὰ κῦμα βάλοντο
ὦκα δ' ἄρ' ἀρτήσαντο πολυστρέπτοισι κάλωσι
πρύμνης ἐξ ὑπάτης δολιχὴν μήρινθα βαλόντες
Ἄργος τ' Ἀγκαῖός τε καὶ ἀρχὰς δῶκαν ἑλέσθαι
ἡρώων. τοὶ δ' αἶψα δι' αἰγιαλοῖο θέοντες,

σύρον ἐπειγόμενοι· σὺν δ' ἔσσυτο ποντοπόρος νηῦς
τέμνουσ' ὑγρὰ κέλευθα παρὰ ξυστοῖς κροτάφοισιν·
οὐ γὰρ ἔλιγυς οὖρος ὑπὸ πνοιῇσιν ὄρινε
βυκτάων ἀνέμων κλεινὴν ἅλα· κωφὰ δὲ πόντου
κεῖθ'· ὑπὸ δ' ἑλίκης καὶ τηθύος ἔσχατον ὕδωρ.
Αὐτὰρ ἐπεὶ ἕκτη φαεσίμβροτος ἤλυθεν ἠώς,
ἔθνος ἐς ἀφνειὸν, καὶ πλούσιον ἐξικόμεσθα
μακροβίων· οἳ δὴ πολλέας ζώουσ' ἐνιαυτοὺς,
δώδεκα χιλιάδας μηνῶν ἑκατονταετήρων,
πληθούσης μήνης, χαλεπῶν ἔκποθεν ἀπάντων,
αὐτὰρ ἐπεὶ μοῦνος τὸ πεπρωμένον ἐξανύσωσιν,
ὕπνῳ ὑπὸ γλυκερῷ θανάτου μάρπτουσι τελευτὴν,
οὐδ' ἄρα τοῖσι μέλει βίοτος, καὶ ἔργ' ἀνθρώπων.
ποίαις δ' ἐν μεσάταις μελινδέα φορβὰ νέμονται.
ἕρσην ὑπ' ἀμβροσίῃ θεῖον ποτὸν ἐξαρύοντες.
πάντες ὁμῶς σίλβοντες ὁμηλικίην ἐρατεινὴν,
μειλιχίη δέ τοι αἰὲν ἐπ' ὀφρύσι ναῖσι γαλήνη
παίδεσιν, ἠδὲ τοκεῦσιν ἐπὶ φρεσὶν, ἠδὲ νόοιο.
αἴσιμά τε ῥέζειν, πινυμένα τ' ἐξαγορεύειν.
καὶ τοὺς μὲν ῥ' ἀπρόους παραμείβομεν αἰγιαλὸν δὲ
ποσσὶν ἐπιστείβοντες· ἔπειτα δὲ κιμμερίοισι
νῆα θοὴν ἐπάγοντες ἱκόμεθ', οἵ ῥά τε μοῦνοι
αἴγλης ἄμμοροί εἰσι πυριβρόμου ἠελίοιο.
ἐν μὲν γὰρ ῥίπαιον ὄρος καὶ κάλπιος αὐχὴν
ἀντολίας ἔρυται, ἐπικέκλιται δὲ πελώρη
ἄνον ἐπισκιάζουσα μεσημβριὸν ἠέρα φλέγρη·
δείελον αὖ κρύπτουσι φάος τανυήκεες ἄλπεις
κείνοισι μεσόπεαιν, ἀχλὺς δ' ἐπικέκλιται αἰεὶ
ἔνθα δ' ἀφορμηθέντες ἐπειγομένοισι πόδεσσιν

ἵξομεν ἀγκῶνα στυφελὸν καὶ νήνεμον ἀκτήν·
ἔνθα περ ἀμβλύζων ποταμὸς δίναισι βαθείαις
θέει χυσοῤῥόας ἀχέρων κρυεροῦ διὰ χώρου·
ἀργυροειδὲς ὕδος προῤῥέων, λίμνη τε κελαινὴ
ἀνδέχεται· παταγῇ δὲ παρ' ὄχθαισι ποταμοῖο
δένδρεα πλιθάοντα ποτὶ χθὸν, οἷσι καρποὺς
βέβριθε νύκτας τε, καὶ ἤματα συνεχὲς αἰεί·
ἀμφὶ δέ οἱ χθαμαλοί τε, καὶ εὔβοτος ἑρμιονεία·
τείχεσιν ἠρήρηται ἐϋκτιμέναις ἐπ' ἀγυιαῖς.
ἐν δὲ γένη ζώουσι δικαιοτάτων ἀνθρώπων·
οἷσιν ἀποφθιμένοισιν ἄλις ναῦς ἵα τέτυκται.
καὶ δ' αὖ αἱ ψυχαὶ μετεκίαθον εἰς ἀχέροντα
πορθμίδος ἐκγλαφυρῆς. σχεδόθεν δέ οἱ εἰσὶ πόληες,
ἄῤῥηκτοί τ' αἴδαο πύλαι, καὶ δῆμος ὀνείρων.
ἀλλ' ὅτε δὴ καὶ τήνδε πόλιν καὶ ἤθεα λαῶν
σφῆ ἄτῃ βαρεῖ οἶκον ἀναπλώσαντες ἔβημεν
δὴ ῥα τότ' ἀγκαῖος νηὸς κίεν, αἶψα δὲ πάντας
εἰσβαίνειν ἐκέλευσε κεκμηκότας ἄμμιγ' ἑταίρους·
τοὺς ὅγε καὶ μύθοισι προσηύδα μειλιχίοισι.
τλῆτε φίλοι τὸν μόχθον, ἐπεὶ νύ τοι οὔτι χέρειον
ἔλπομαι ἀντλήσεσθαι· ἐπιφρίσσοντα γὰρ ἤδη
αὐρᾷ ζέφυρον καταδέρκομαι, οὐδ' ἀτέκμαρτον
ὕδωρ ὠκεανοῦ κελαρύζεται ἐν ψαμάθοισιν,
ἀλλὰ θοῶς ἱστὸν μὲν ἀναστήσασθε μεσόδμῃ·
λύσατε δὲ προτόνων ὀθόνας· ἐκ δ' ὅπλα χέοντες
σφίγξατέ τ' ἐπισταμένως. τοίχων ἑκάτερθε βαλόντες,
ὡς οἱ μὲν, τὰ ἕκαστα πονείατο· ἐκ δ' ἄρα κοίλης
νηὸς ἐπιβρομέουσα τομαρίας ἔκλαγε φηγός.
ἥν ποθ' ὑπ' ἀργῴοισι τομαῖς ἡρμόσατο παλλάς.

ὣς δ' ἄρ' ἔφη· θάμβος δὲ περὶ φρένας ἵκετο πάντας.
ὤμοι ἐγὼν, ὄφελόν με διαρραισθεῖσαν ὀλέσθαι
κυανέαις πέτραισιν ἐν ἀξείνῳ τε κύδωνι
ἢ καὶ νῦν ἀνάπυστον ἀϊδροίῃ βασιλήων
νώνυμνον φορέεσκον, ἐπεὶ νῦν αἰὲν ἐριννὺς
αἵματος ἐμφυλίοιο δυσνιπέτος ἀψύρτοιο
ὑστερόπους ἕπεται. στείχει δέ τοι ἄτη ἐπ' ἄτην.
νῦν γὰρ δὴ λυγρῆς τε καὶ ἀργεινῆς κακότητος
ἵξομαι εἰ τήλαιν ἐριννύσιν ἄωεν ἵκωμαι.
εἰ μὴ γάρ μ' ἱρῇσιν ἐπιγνάμψαντες ἄκρησι
κόλπον ἔσω γαίης τε, καὶ ἀτρυγέτοιο θαλάσσης
ἵξεσθ' ἂμ πέλαγος ἀτλαντικὸν ἐκτὸς ἵκωμαι.
Ὣς εἰποῦσ' αὐδὴν κατερήτυεν. ἐν δ' ἄρα θυμὸς
πυκνώθη μινύθουσι διαμπερὲς, εἴτ' ἄρ' ἔμελλον
χήσειν λυγρὸν ὄλεθρον ἰάσονος εἵνεκα φίλτρων.
πολλὰ δὲ μερμήριζον ἐνὶ φρεσὶ ποικιλίμοισιν
ἢ μὲν ἀποφθίσωσι, καὶ ἰχθύσι κύρμα βάλωσιν
αἰνολέχην μήδειαν, ἀποστρέψωσι δ' ἐριννῦ.
εἰ μὴ ἄρ' ὀξὺ νόησε περικλυτὸς αἴσονος υἱός.
καὶ τότε λισσόμενος θυμὸν κατερήτυεν ἑκάστου.
Αὐτὰρ ἐπεί τ' ἀργοῦς ἐτυμηγόρον ἔκλυον ὀμφὴν
ἥντο παρὰ σκαλμοῖσι θοῶς, λάζοντο δ' ἐρετμά.
ἀγκαῖος δ' οἴακας ἐπισταμένως ἐτίταινε.
πὰρ δ' ἄρα νῆσον ἄμειβεν ἱερνίδα. καί οἱ ὄπισθεν
ἵκτο καταιγίδην δνοφερὴν ῥομένυσα θύελλαν.
ἐν δ' ὀθόνας κόλπωσε· θέεν δ' ἄφαρ ὑγρὸν ἐπ' οἶδμα
νηῦς. οὐδέ τις ἐσαῦθις ἀναπλεύσεσθαι ὀλέθρου
ἤλπετο· δωδεκάτῃ γὰρ ἐπήϊεν ἠριγένεια.
οὐδέ τις ἔγνω ᾖσιν ἐνὶ φρεσὶν, ὅπο τ' ἄρ' ἐσμὲν

ἐμμὴ ἐσχατιαῖς ἀγκαλαῤῥόου ὠκεανοῖο
λυγκεὺς εἰσενόησεν· ὃ γὰρ τηλωπὸν ὄπωπε
νῆσον πευκήεσσαν, ἰδ' εὐρέα δώματ' ἀνάκτης
δήμητρος· περὶ δ' αὖτε μέγα νέφος ἐστεφάνωται
ὧν πέρι μῦθον ἅπαντ' ἔκλυες μουσαῖε δαΐφρον.
ὥς ποτε φερσεφόνην τέρεν' ἄνθεα χερσὶ δρέπουσαν
ἐξάπαφον συνόμαιμοι ἀν' εὐρύτε, καὶ μέγα ἄλσος
Αὐτὰρ ἔπειθ' ὥσμιν πλουτεὺς κυανότριχας ἵππους
ζευξάμενος, κούρην ἐπεβήσατο δαίμονος αἴσῃ.
ἁρπάξας δ' ἔφερεν διὰ κύματος ἀτρυγέτοιο.
δὴ τότ' ἐγὼ ἀπόειπον ἐπιπλώειν ταχέεσθαι·
νήσου ἐπὶ ῥηγμῖνα, καὶ ἀγλαήεντα τέρεμνα.
ἔνθ' οὔτις σώζεται παρὰ μερόπων ἀνθρώπων.
οὐ γὰρ οἱ ἔστι λίμνη νηῶν ὄχος ἀμφιελισσῶν·
ἀμφὶ γε ἠλίβατος πέτρη περὶ πάντα πέφυκεν
ὑψηλή· τά τε καλὰ φύει μενοεικέα δῶρα.
καὶ τό τ' ἂρ οὐκ ἀπίθησε νεὸς κυανοπρώροιο.
ἰθυντὴρ ἀγκαῖος ἀνέσχε δ' αἶψ' ἀνορούων,
σκαιὸν ὑπεγκλίνας οἴηον· ἐν δ' ἄρ ἔπειθε
μήτι κατευθὺ περᾶν. ἐπιδέξια δ' ἦγε θέουσαν.
Ἤματι δὲ τριτάτῳ κίρκης δόμον ἐξικόμεσθα.
λυκαῖον ποτὶ χέρσον, ἁλιστεφέας τε θεράπνας·
καὶ τότ' ἂρ αἰγιαλοῖσιν ἐκέλσαμεν ἀχνύμενοι κῆρ.
πείσματα δ' ἐν πέτρῃσιν ἐδήσαμεν, ἐκ δ' ἂρ ἰήσων
νηὸς ἀποπροίηκε μολεῖν ἐρίηρας ἑταίρους·
διζόμενος τίς ἂρ ἀνθρώπων ἀν' ἀπείρονα γαῖαν
ναιετάει, γνῶεν δὲ πόλιν, καὶ ἤθεα λαῶν.
τοῖς δ' ἄφαρ ὡμάρτησε κατἀντίον ἐρχομένοισι.
κούρη ὁμογνήτη μεγαλόφρονος αἰήταο

ἠελίου θυγάτηρ. κίρκην δέ ἑ κικλήσκουσι.
μήτηρ ἀστερόπη, καὶ τηλεφανὴς ὑπερίων·
ἦρα θοῶς ἐπὶ νῆα κατήλυθεν. ἐν δ' ἄρα πάντες
θάμβεον εἰσορόωντες. ἀπὸ κρατὸς γὰρ ἔθειραι
πυρσαῖς ἀκτίνεσσιν ἐγγήνιοι ἠώρηντο.
στίλβε δὲ καλὰ πρόσωπα, φλογὸς δ' ἀπέλαμπεν ἀϋτμή.
αὐτὰρ ἐπεὶ μήδειαν ἐσέδρακεν ὀφθαλμοῖσι
λῖτι καλυπτομένην, ἑανῷ δ' ἀμφεῖχε παρειάς·
αἰδομένη, χλωρὸν γὰρ ὑπὸ στέρνοις ἄχος εἶχεν,
ἣν τότ' ἐποικτείρουσα προσηύδανε, καὶ φάτο κίρκη
ὦ δειλὴ τίνα σοι κύπρις ὤπασε μοῖραν;
οὐ γάρ τοι λελάθεσθε ἅπερ ῥέξαντες ἵκεσθε·
νῆσον ἐφ' ἡμετέρην πανετώσιοι εἵνεκα πατρὸς
γηραιοῦ, κασιός τε, ὃν ἐν πάγλως ὀλέσατε
οὐδὲ γὰρ ὔμμε παρῆσιν οἴομαι αὖον ἱκέσθαι
εἰ ἐν ἀπαγνίστοισιν ἀλιτροσύναις ἀκέοντες
μέσφ' ὅταν ἐκνίψησθε μύσος θείοισι καθαρμοῖς
ὀρφέως ἰδμοσύνῃσι παρὰ κροκάλοισι μαλείης.
οὐδὲ γὰρ ἡμετέροιο δόμου θέμις ἐστὶν ἱκέσθαι
προστροπίους, τοίῳ γε λύθρῳ πεπαλαγμένοι ἐστέ.
ἀλλά μιν αὐτίκ' ἐγὼ πρόφρων ξεινήια πέμψω
σῖτον, καὶ μέθυ λαρὸν ἔχειν, σὺν δὲ κρέα πολλά.
Ὣς εἰποῦσ' ἄψορος ἀπέπτατο νηὶ δὲ μέσσῃ·
δαιτός τ' ἠδὲ ποτοῖο τετυγμένα τεύχε' ἔκειτο.
ἐν δ' ἄρ' ἐπειγομένοισι θέεν λιγὺς οὖρος ἀήτης·
καὶ τότε λυσάμενοι κείνης ἀπὸ πείσματα νήσου
κῦμα διαπρήσσοντες ἀνὰ στόμα τυρσηνοῖο
ἱκόμεθα, στήλαισι δ' ἐκέλσαμεν ἡρακλῆος.
ἄκραις δ' ἀμφιβῶσι διωνύσοιο ἄνακτος

μίμνομεν ἑσπέριοι, δαιὸς γὰρ ἐλάετο θυμός.
ἦμος γὰρ πολίαισιν ἐγείρετο φωσφόρος αἴγλη
ὄρθριοι εἰρεσίῃς γλαυκὴν ἐχαράξαμεν ἅλμην
σαρδῶον δ' ἱκόμεσθα βυθὸν, κόλπους τε λατίνων
νήσους τ' αὐσονίας, τυῤῥηνάς δ' ἱξόμεθ' ἀκτάς.
Αὐτὰρ ἐπεὶ λιλύβαιον ἐπέσχομεν ἠχέτα πορθμὸν
τριγλώχι κατὰ νῆσον ἐπέχομεν ἐγκελάδοιο
αἰτναίη φλὸξ σφιν ἄρ' ἐρητύει μεμαῶτας,
δὴ τότ' ὑπὲρ πρώρης ὀλοὸν πριίζεν ὕδωρ
νειόθεν, ἐκ μυχάτου δὲ βυθοῦ ῥοίβδησε χάρυβδις:
κύματι καχλάζοντι, καὶ ἱστίον ἄκρον ἵκανε.
νῆα δ' ἄρ' αὐτόθι κατεῖχεν ῥόος, οὐδὲ μὲν εἴα
προπροβιάζειν, οὐδ' αὐτίκα ἀναδύεσθαι ὀπίσω.
κοίλῳ ἐπὶ λυγρῷ δὲ περιστροφάδην ἀλάλητο.
ἦ τάχα καὶ δύσεθ' ἀργὼ κατὰ βένθος ἔμελλεν
εἰ μὴ πρέσβυς θυγάτηρ ἁλίοιο γέροντος
εὐρυβίη πηλῆα πόσιν λελίητο ἰδέσθαι.
μελιχίη δ' ἐκδῦσα βυθοῦ καὶ ῥύσατ' ὀλέθρου
ἀργῴην ἄκατον, καὶ ὑπ' ἴλυος ἐξεσάωσε.
δὴ τότε οἱ πλώοντες ἐπέχομεν οὐ μάλα τηλοῦ
προβλῆτα σκόπελον, πέρη δ' ἑκάτερθεν ἀποῤῥὼξ
λισσοῖς χηραμένοισιν ἐπιβρώσκουσα βιᾶται
πόντον ἔσω, χαροπὸν δ' ἄρ' ὑποβρέμει ἔνδοθι κῦμα
ἔνθα δ' ἐφεζόμεναι λιγυρὴν ὄπα γηρύουσι
κοῦραι, ἀνοστήτους δὲ βροτῶν θέλγουσιν ἀκουάς.
δὴ τότε δὴ μινύαισιν ἐφήνδανε πῦσις ἀοιδῆς
σειρήνων· οὐδὲ σφι παραπλώεσθαι ἔμελλον
φθογγὴν ὑλομένην· χειρῶν δὲ οἱ ἧκεν ἐρετμά.
ἀγκαῖος δ' ἴθυνεν ἐπὶ προβλῆτα κολωνόν.

ἐμὴν ἰωὴν φόρμιγγα τιταινόμενος παλάμῃσι·
μητρὸς ἐμῆς ἐπέραμ' Εὐτερπείας κόσμον ἀοιδῆς·
ἤειδον δὲ λιγὺ κλάζων διὰ θέσκελον ὕμνον,
ὥς ποτε οἱ δήρισαν ἀελλοπόδων ὑπὲρ ἵππων·
αὐτὰρ κυανοχαῖτα χολωσάμενος Διὶ πατρὶ
τύψεν λυκτονίην γαῖην χρυσῆνι τριαίνῃ,
καὶ ῥαΐγδην διεσκέδασεν κατ' ἀπείρονα πόντον
νήσους ἐναλίδας ἔμεναι, τάς ῥ' ἐξονόμηναν
Σαρδών, Εὔβοιάν τ' ἐπὶ δὲ Κύπρον ἠνεμόεσσαν·
δὴ τότε φορμίζοντος ἀπὸ σκοπέλου νιφόεντος
σειρῆνες θάμβησαν, ἑὴν δ' ἄμπαυσαν ἀοιδήν·
καί ῥ' ἡ μὲν, λωτοὺς, ἡ δ' αὖ χέλυν ἔκβαλε χειρῶν,
δεινὰ δ' ἀνεστονάχησαν, ἐπεὶ πότμος ἦε λυγρὸς
μοιριδίου θανάτοιο· σφέας δ' ἀπὸ ῥωγάδος ἄκρης
ἐς βυθὸν δίσκευσαν ἁλιρροθίοιο θαλάσσης·
πέτρας δ' ἠλλάξαντο δέμας, μορφήν θ' ὑπέροπλον,
αὐτὰρ ἐπεὶ καὶ τόνδε πότμον παράμειψε θέουσα
Ἀργὼ, κῦμα δὲ πόντου καὶ κόλπον ἴκανε
λαιψηροῖς πλήθουσα κατὰ προτέρων ἀνέμοισι,
Κέρκυραν ζαθέην ἐξίκετο· τήν σφιν ἔναιον
ἴδριες εἰρεσίης καὶ ἁλιπλάγκτοιο πορείης
Φαίηκες, τοῖσι δ' ἄρ' ἐρμοσιώαισι θέμιστας
Ἀλκίνοος κραίνεσκε δικαιότατος βασιλήων·
πείσματα δ' ἀψάμενοι πορσιώαμεν ἱερὰ θέσθαι
Ζηνὶ πανομφαίῳ καὶ ἐπακτίῳ Ἀπόλλωνι,
ἐν δ' ἄρ' ὑπηρεσίῃσιν ἐπειγόμενοι φορέοντο
νηυσὶν ἀπειρεσίαις βριαρὸς λόχος αἰήταο
Κόλχων ἐρρώοντε, Χαρανδαίων, Σολύμων τε,
διζόμενοι Μινύας, ὄφρ' αὖ Μήδειαν ἄγοιτο

ἄψιν ἐς αἰήταο πατρὸς, τίσῃ δ' ἀμοιβὰς
σφῇσιν ἀτασθαλίῃσιν ἀδελφειοῦ κταμένοιο
ἀλλ' ὅτε δὴ κοίλου λιμένος μυχῷ ἆσσον ἵκοντο
αἶψα δ' ἄρ' ἀλκινόοιο δόμον κήρυκες ἔβαινον
μηδείης λυτογαμοῦσα· δέος δ' ὤχρησε παρειὰς
μὴ οἱ ἑλὼν ἀέκουσαν, ἑὸν πέμψειε δόμονδε
φαιήκων βασιλεὺς, ἀνάπυστά τε ἔργα γένηται.
ἀλλ' οὔ οἱ τάδε μοῖρα τε ἀλκίνοος κατένευσε,
πρὶν δή τοι πελίαο δόμοις ἔπι λυγρὸν ὄλεθρον
αὐτῷ τε κρείοντι φέροι καὶ κακὸν οἶτον ἰήσων·
ἀλλ' ὅτε δὴ βασιλῆος ἀπηνέος ἔκλυεν αὐδὴν,
ἀρήτη ῥοδόπηχυς, ἴδ' ἀλκίνοος θεοειδής·
ἀλκίνοος μὲν ῥ' ὦκ' ἐπετέλλετο κηρύκεσσι
κούρην ἀμφήριστον ἄγειν ἀπὸ νηὸς ἐρυμνῆς
πατρίδ' ἐὼ τίσεσθαι δίκην ἀτιμοσυνάων.
ἀρήτη δ' ὤικτειρεν ἀγακλειτὴ βασίλεια
μείλιχα παρφαμένη δὲ ὃν ὃν πόσιν, ὧδ' ἀγόρευεν.
οὐ μὲν δὴ φίλον ἐστὶν ἀπορρώσασθαι ὅμιλον,
λέκτρα τε στορέσαι, λῦσαί τ' ἐκ πυρσὸν ἔρωτος.
θυμαίνῃ μάλα γάρ σφιν διωναίη ἀφροδίτη
ἀνδράσιν, ἠδὲ γυναιξὶν, ὅπις τάδε μήσεται ἔργα·
ἀλλ' εἰ μὲν κούρη πέλεται καὶ ἄχραντος ἱκάνει,
οἰχέσθω πατρός τε δόμον, καὶ ἐς ἤθεα κόλχων.
εἰ δὲ καὶ νυμφιδίοις δάροις λέκτρωτε κλιθεῖσα
παρθενίην ἤχευεν, ἑὸς πόσις ἄμμιν ἀγέσθω·
Ὣς ἔφατ'· ἀλκινόου δὲ περὶ φρένας ἤλυθε μῦθος·
καί ῥ' οὔπω τάδε πάντα τελευτήσεσθαι ἔμελλεν·
ἀλλ' οὔ οἱ βουλὴ μινύας λάθεν, αἶψα γὰρ ἥρη
δμωὶ δέμας εἰκυῖα, θοῶς φάτο, καὶ κατένευσε·

νηὸς ἐπὶ προβορῶσα, τὰ δ' ἱμήτιον ἄνακτος·
δὴ τότε Μηδείῃ θαλάμων προσαύετο λέκτρον.
πρύμνῃ ἐπ' ἀκροτάτῃ, περὶ δ' ἐστορέσαντο χαμεύνας
ἀμφ' αὐτῇ, χρύσειον ἐφαπλώσαντες ἄωτον·
Αὐτὰρ ἐπεὶ δοράτεσιν ἐπαρτήσαντο βοείας,
τεύχεά τε, κρύπτον τε γάμων αἰδέσιμον ἔργον.
καὶ τότε παρθενίης νοσφίζετο κύριον ἄνθος,
αἰνόγαμος Μήδεια δυσαινήτοις ὑμεναίοις.
αὐτὰρ ἐπεὶ βασιλῆος ἀμύμονος ὄψιν ἵκοντο
Κόλχοι καὶ Μινύαι, καὶ ἐμυθήσαντο ἕκαστοι,
ἐκ δ' ἔλαχ' Αἰσονίδης ἄλοχον Μήδειαν ἄγεσθαι
Ἀλκινόου, τοὶ δ' ὦκα λύοντ' ἐκ πείσματα νηός·
δὴ τόθ' ὑπ' εἰρεσίῃσι θεῖν πολυηγόρος Ἀργὼ
Ἀμπρακίης κόλποιο διαπρήσσουσα κέλευθα.
ἔνθα τί τοι Μουσαῖε θεηγενὲς ἐξαγορεύσω,
ὅσσ' αὖ ἔπαθον Μινύαισιν ὁμοῦ ποτὶ Σύρτιν ἀήταις·
ἢ πῶς ἐξεσάωθεν ἁλιπλάγκτοιο πορείης.
ὅσσα τ' αὖ ἐν Κρήτῃ πάθον ἄλγεα τετληῶτες
χάλκειον προγίγαντα δοκεύμενοι, ὄφρ' ἱκόμεσθα·
ὅς ῥά οἱ οὐκ ἔασκε μένων ἔντοσθεν ἱκέσθαι.
ἠδ' ὡς τειρόμενοι βαρυηχέϊ κύματι πόντου
ῥίμφα τε κυανέῃσι βαπτόμενοι νεφέλῃσιν,
ἠλπόμεθα σκοπέλοισι μαλαινέοισιν ἱκέσθαι
νῆα θοήν· ταχὺ δ' ἄρ' ἑκηβόλος ἀγχόθεν αἰὲν
Δήλου ἀπὸ κραναῆς ἧκεν βέλος· ἐκ δ' ἀνέφηνε
Μελαντίων σποράδων· κραναὴν δέ ἑ πάντες ὀπίσω
νῆσον ἐπικλήσκουσι περικτίονες ἄνθρωποι.
ἀλλ' οὔ οἱ θέμις ἔσκε διαμπερὲς ἐξ ἁλὸς ἕρξαι
Αἰσονίδην· περὶ γὰρ ῥαλύμνον φέρεν. ἄλλα δ' ὀπίσω

μοῖρ' ὀλοή· κότεον γὰρ ἐπιφραδέως ὑπερβίων·
ἀλλ' ὅθ' ὑπ' εἰρεσίης μαλειώτιδας ἱκόμεθ' ἄκρας,
κίρκης ἐννεσίῃσιν ἀπορρίψεσθαι ἔμελλον,
ἀρὰς αἰήτεω καὶ ἀλιτόποινον ἐριννύ.
δὴ τότ' ἐγὼ μινύαισιν ἐφ' ἱερὰ λύτρα καθαρμῶν
ῥέξα, καὶ ἐλλισάμην γαιήοχον ἐννοσίγαιον,
νόστον ἐπειγομένοις δόμεναι γλυκερόν τε πάτρας·
καί ῥ' οἱ μὲν πλώοντες ἐϋκτιμένην ἐπ' ἰωλκὸν
θοῦν. ἐγὼ δ' ἱκόμην ἐπὶ ταίναρον ἠνεμόεντα.
ὄφρα κεν ἔντομα ῥέξω ἀγακλειτοῖς βασιλεῦσιν,
οἵ τ' ἄρα νερτερίων βρέθρων κληῖδας ἔχουσιν.
ἔνθεν δ' ὁρμηθεὶς, ἐσύθην χιονώδεα θρήικην,
λειβήθρων ἐς χῶρον, ἐμὴν ἐς πατρίδα γαῖαν.
ἄντρον δ' εἰσεπέρησα περικλυτὸν, ἔνθα με μήτηρ
γείνατ' ἐν λέκτροις μεγαλήτορος οἰάγροιο.

Céleste Créateur, Modérateur du Monde
Que ta Divine main soutient, père et féconde ;
Principe universel de la Terre et des Cieux
Ton Esprit remplit tout et les Temps et les lieux.
Père de l'univers, ton règne sur la Terre,
Nous promet la Vertu, la paix et la lumière ;
De l'homme et des Esprits, dans ton immensité,
Tu soustrais l'existence à la nécessité ;
De ton être Eternel, de ta Divine Essence
Naissent la Vérité, le droit et la puissance ;
Ah ! daigne par pitié, verser dans ta bonté
Sur tes pauvres Enfants l'Esprit de Sainteté !

# ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΜΟΥΣΑΙΟΝ.

Εὐτυχῶς χρῶ ἑταῖρε.

μ Ανθανε δὴ μυσαῖε θυηπολίην περὶ σεμνὴν,
εὐχὴν, ἣ δή τοι προφερεστέρη ἐστὶν ἁπασῶν.
ζεῦ βασιλεῦ, καὶ γαῖα, καὶ οὐράνιαι φλόγες ἁγναί.
ἠελίου, μήνης θ' ἱερὸν σέλας, ἄστρα τε πάντα.
καὶ σὺ ποσείδαον, γαιήοχε, κυανοχαῖτα.
φερσεφόνη θ' ἁγνὴ δὴ μήτηρ τ' ἀγλαόκαρπε.
ἄρτεμι ἰοχέαιρα κόρη, καὶ ἤιε φοῖβε.
ὃς δελφῶν ναίεις ἱερὸν πέδον· ὅς τε μεγίστας
τιμὰς ἐν μακάρεσσιν ἔχεις διόνυσε χορευτά.
ἄρες τ' ὀβριμόθυμε, καὶ ἡφαίστου μένος ἁγνόν.
ἀφρογενής τε θεὰ, μεγαλώνυμα δῶρα λαχοῦσα·
καὶ σὺ καταχθονίων βασιλεῦ μέγ' ὑπείροχε δαῖμον.
ἥβη τ', εἰλείθυια, καὶ ἡρακλέος μένος ἠΰ·
καὶ τὸ δικαιοσύνης τε καὶ εὐσεβίης μέγ' ὄνειαρ.
κικλήσκω νύμφας τε κλυτὰς, καὶ πᾶνα μέγιστον.
ἥρην τ', αἰγιόχοιο διὸς θαλερὴν παράκοιτιν.
μνημοσύνην τ' ἐρατὴν, μούσας τ' ἐπικέκλομαι ἁγνὰς
ἐννέα καὶ χάριτάς τε, καὶ ὥρας, ἠδ' ἐνιαυτόν.
λητώ τ' εὐπλόκαμον θείαν, σεμνήν τε διώνην.
κουρῆτας τ' ἐνόπλους, κορύβαντάς τ', ἠδὲ καβείρους.
καὶ μεγάλους σωτῆρας ὁμοῦ, διὸς ἄφθιτα τέκνα.
ἰδαίους τε θεοὺς ἠδ' ἄγγελον οὐρανιώνων,
ἑρμείαν κήρυκα. θέμιν τ' ἱεροσκόπον ἀνδρῶν.

νύκτα τε πρεσβύτην καλέω· καὶ φωσφόρον ἦμαρ,
πίστιν τ' ἠδὲ δίκην· καὶ ἀμύμονα θεσμοδότειραν.
ῥεῖαν τ', ἠδὲ κρόνον, καὶ τηθὺν κυανόπεπλον.
ὠκεανόν τε μέγαν, σύν τ' ὠκεανοῖο θύγατρας.
ἄτλαντός τε, καὶ αἰῶνος μέγ' ὑπείροχον ἰσχύν.
καὶ χρόνον ἀέναον· καὶ τὸ στυγὸς ἀγλαὸν ὕδωρ,
μειλιχίους τε θεούς· ἀγαθὴν δ' ἐπὶ τοῖσι πρόνοιαν.
δαίμονά τ' ἠγάθεον, καὶ δαίμονα πήμονα θνητῶν.
δαίμονας οὐρανίους, καὶ ἠερίους, καὶ ἐνύδρους,
καὶ χθονίους, καὶ ὑποχθονίους, ἠδὲ πυριφοίτους.
καὶ σεμέλην, βάκχου τε συνευαστῆρας ἅπαντας,
ἰνώ, λευκοθέην τε, παλαίμονά τ' ὀλβιοδώτην.
νίκην θ' ἡδυέπειαν. ἰδ' ἀδρήστειαν ἄνασσαν.
καὶ βασιλῆα μέγαν ἀσκληπιόν, ἠπιοδώτην.
παλλάδα τ' ἐγρεμάχην κούρην, ἀνέμους τε προπάντας,
καὶ βροντάς, κόσμου τε μέρη τε τρακίονος αὐδῶ.
μητέρα τ' ἀθανάτων ἄττιν, καὶ μῆνα κικλήσκω.
οὐρανίαν τε θεάν, σὺν δ' ἄμβροτον ἁγνὸν ἄδωνιν.
ἀρχήν τ', ἠδὲ πέρας. τὸ γὰρ ἔπλετο πᾶσι μέγιστον,
εὐμενέας ἐλθεῖν κεχαρημένον ἦτορ ἔχοντας.
τήνδε θυηπολίην ἱερήν, σπονδήν τ' ἐπὶ σεμνήν.
εἰνοδίαν ἑκάτην κλήζω, τριοδῖτιν ἐραννήν,
οὐρανίαν χθονίαν τε, καὶ εἰναλίαν κροκόπεπλον.
τυμβιδίαν ψυχαῖς νεκύων μεταβακχεύουσαν.
περσείαν σκυλακῖτιν ἀμαιμάκετον βασίλειαν,
ταυροπόλον, παντὸς κόσμου κλειδοῦχον ἄνασσαν,
ἡγεμόνην, νύμφην, κουροτρόφον, οὐρεσιφοῖτιν,
λισσομένοις κούρην τελεταῖς ὁσίαισι παρεῖναι·
βουκόλῳ εὐμενέουσαν ἀεὶ κεχαρηότι θυμῷ.

# ΤΟΥ ΑΥΤΟΥ, ΥΜΝΟΙ.

Προθυραίας θυμίαμα, στύρακα.

β Κλῦθί μοι ὦ πολύσεμνε θεά, πολυώνυμε δαῖμον.
ὠδίνων ἐπαρωγέ, λεχῶν ἡδεῖα πρόσοψι,
θηλειῶν σώτειρα, μόνη φιλόπαις ἀγανόφρον,
ὠκυλόχεια, παροῦσα νέαις θνητῶν προθυραία.
κλειδοῦχ' εὐάντητε, φιλότροφε, πᾶσι προσηνής.
ἣ κατέχεις οἴκους πάντων, θαλίαις τε γέγηθας.
λυσίζων ἀφανής, ἔργοισι δὲ φαίνῃ ἅπασι.
συμπάσχεις ὠδῖσι, καὶ εὐτοκίῃσι γέγηθας.
εἰλείθυια λύουσα πόνους δειναῖς ἐν ἀνάγκαις.
μούνην γάρ σε καλοῦσι λεχοὶ, ψυχῆς ἀνάπαυμα.
ἐν γάρ σοι τόκε τῶν λυσιπήμονες εἰσὶν ἀνίαι.
ἄρτεμις εἰλείθυια, καὶ ἡ σεμνὴ προθυραία
κλῦθι μάκαιρα δίδου δὲ γονὰς ἐπαρωγὸς ἐοῦσα.
καὶ σῷζ', ὥσπερ ἔφυς αἰεὶ σώτειρα προπάντων.

Νυκτὸς θυμίαμα, δαλούς.

γ Νύκτα θεῶν γενέτειραν ἀείσομαι, ἠδὲ καὶ ἀνδρῶν.
νὺξ γένεσις πάντων, ἣν καὶ κύπριν καλέσωμεν.
κλῦθι μάκαιρα θεά, κυαναυγὴ, ἀστεροφεγγής,
ἡσυχίῃ χαίρουσα, καὶ ἠρεμίῃ πολυύπνῳ.
εὐφροσύνη, τερπνὴ, φιλοπάννυχε, μῆτερ ὀνείρων.
ληθομέριμν', ἀγαθή τε, πόνων ἀνάπαυσιν ἔχουσα,
ὑπνοδότειρα, φίλη πάντων, ἐλάσιππε, νυχαυγής,
ἡμιτελὴς, χθονία, ἠδ' οὐρανία πάλιν αὐτή.
ἐγκυκλία, παίκτειρα, διώγμασιν ἠεροφοίτοις.
ἣ φάος ἐκπέμπεις ὑπὸ νέρτερα, καὶ πάλι φεύγεις

εἰς ἀΐδην. δεινὴ γὰρ ἀνάγκη πάντα κρατύνει.
νῦν σε μάκαιρα νὺξ πολύολβε, πᾶσι ποθεινὴ,
εὐάκουστε, κλύουσα λόγων ἱκετήριδα φωνήν.
ἔλθοις εὐμενέουσα, φόβους δ' ἀπόπεμπε νυχαυγεῖς.

Οὐρανοῦ θυμίαμα, λίβανον.

Οὐρανὲ παγγενέτωρ, κόσμου μέρος αἰὲν ἀτειρὲς,
πρεσβυγένεθλ' ἀρχὴ πάντων, πάντων τε τελευτὴ,
κόσμε πατὴρ, σφαιρηδὸν ἑλισσόμενος περὶ γαῖαν.
οἶκε θεῶν μακάρων, ῥόμβου δίναισιν ὁδεύων.
οὐράνιος, χθόνιός τε, φύλαξ πάντων περιβληθεὶς,
ἐν στέρνοισιν ἔχων φύσεως ἄτλητον ἀνάγκην,
κυανόχρως, ἀδάμαστε, παναίολε, αἰολόμορφε.
πανδερκὲς, κρονότεκνε, μάκαρ πανυπέρτατε δαῖμον.
κλῦθ' ἐπάγων ζωὴν ὁσίαν μύστῃ νεοφάντῃ.

Αἰθέρος θυμίαμα, κρόκον.

Ὦ Διὸς ὑψιμέλαθρον ἔχων κράτος αἰὲν ἀτειρὲς,
ἄστρων, ἠελίου τε σεληναίης τε μέρισμα.
πανδαμάτωρ, πυρίπνου, πᾶσι ζωοῖσιν ἔναυσμα,
ὑψιφανὴς αἰθὴρ, κόσμου στοιχεῖον ἄριστον.
ἀγλαὸν ὦ βλάστημα, σελασφόρον, ἀστεροφεγγές.
κικλήσκων λίτομαί σε, κεκραμένον εὔδιον εἶναι.

Πρωτογόνου θυμίαμα, σμύρναν.

Πρωτόγονον καλέω διφυῆ, μέγαν, αἰθερόπλαγκτον,
ᾠογενῆ, χρυσέαισιν ἀγαλλόμενον πτερύγεσσιν,
ταυροβόαν, γένεσιν μακάρων, θνητῶν τ' ἀνθρώπων.
ὅς τε πολύμνηστον πολυόργιον ἠρικεπαῖον,
ἄρρητον, κρύφιον, ῥοιζήτορα, παμφαὲς ἔρνος

ὄσσων ὃς σκοτόεσσαν ἀπημαύρωσας ὁμίχλην·
πάντη δινηθεὶς πτερύγων ῥιπαῖς κατὰ κόσμον,
λαμπρὸν ἄγων φάος ἁγνὸν, ἀφ' οὗ σε φάνητα κικλήσκω,
ἠδὲ πρίηπον ἄνακτα, καὶ ἀνταύγην ἑλίκωπον·
ἀλλὰ μάκαρ πολύμητι, πολύσπορε, βαῖνε γεγηθὼς
ἐς τελετὴν ἁγίαν, πολυποίκιλον, ὀργιοφάνταις.

Ἄστρων θυμίαμα, ἄρωμα.

Ἄστρων οὐρανίων ἱερὸν σέλας ἐκπροκαλοῦμαι.
εὐιέροις φωναῖσι κικλήσκων δαίμονας ἁγνούς.
ἀστέρες οὐράνιοι, νυκτὸς φίλα τέκνα μελαίνης,
ἐγκυκλίοις δίναισι περιθρόνια κυκλέοντες,
ἀνταυγεῖς πυρόεντες, ἀεὶ γενετῆρες ἁπάντων,
μοιρίδιοι, πάσης μοίρης σημάντορες ὄντες.
θνητῶν ἀνθρώπων θείαν διέποντες ἀταρπὸν,
ἑπταφαεῖς, ζώνας ἐφορώμενοι, ἠερόπλαγκτοι,
οὐράνιοι, χθόνιοί τε, πυρίδρομοι, αἰὲν ἀτειρεῖς,
αὐγάζοντες ἀεὶ νυκτὸς ζοφοειδέα πέπλον,
μαρμαρυγαῖς στίλβοντες, εὔφρονες, εὐνύχιοί τε,
ἔλθετ' ἐπ' εὐιέρου τελετῆς πολυΐστορας ἄθλους,
ἐσθλοὶ ἐπ' εὐδόξοις ἔργοις δρόμον ἐκτελέοντες.

Ἡλίου θυμίαμα, λιβανομάνναν.

Κλῦθι μάκαρ, πανδερκὲς ἔχων αἰώνιον ὄμμα.
τιτὰν χρυσαυγὴς, ὑπερίων, οὐράνιον φῶς,
αὐτοφυὴς, ἀκάμα, ζώων ἡδεῖα πρόσοψι,
δεξιὲ μὲν γενέτωρ ἠοῦς, εὐώνυμε νυκτὸς,
κρᾶσιν ἔχων ὡρῶν, τετραβάμοσι ποσσὶ χορεύων.
εὔδρομε, ῥοιζήτωρ, πυρόεις, φαιδρωπὲ, διφρευτά·
ῥόμβου ἀπειρεσίου δινεύμασιν οἶμον ἐλαύνων,

εὐσεβέσιν καθοδηγὲ καλῶν, δυσμενὴς ἀσεβοῦσι.
χρυσολύρη, κόσμου τὸν ἐναρμόνιον δρόμον ἕλκων.
ἔργων σημάντωρ ἀγαθῶν, ὡροτρόφε κοῦρε.
κοσμοκράτωρ, συρικτά, πυρίδρομε, κυκλοέλικτε.
φωσφόρε, αἰολόδικτε, φερέσβιε, κάρπιμε, παιάν.
αἰθαλὴς, ἀμίαντε, χρόνου πάτερ, ἀθάνατε ζεῦ.
εὔδιε, παμφαῆ, κόσμου τὸ περίδρομον ὄμμα.
σβεννύμενον, λάμπον τε, καλαῖς ἀκτῖσι φαειναῖς.
δεῖκτα δικαιοσύνης, φιλονάματε, δέσποτα κόσμου.
πιστοφύλαξ, αἰεὶ πανυπέρτατε, πᾶσιν ἀρωγέ.
ὄμμα δικαιοσύνης, ζωῆς φῶς, ὦ ἐλάσιππε.
μάστιγι λιγυρῇ τετράορον ἅρμα διώκων.
κλῦθι λόγων. ἡδὺν δὲ βίον μύσταισι πρόφαινε.

### Σελήνης θυμίαμα, ἀρώματα.

κ Λῦθι θεὰ βασίλεια, φαεσφόρε, δῖα
σελήνη.
ταυρόκερως, μήνη, νυκτιδρόμε, ἠεροφοῖτι.
ἐννυχία, δᾳδοῦχε, κόρη εὐάστερε μήνη.
αὐξομένη, καὶ λειπομένη, θῆλύς τε, καὶ ἄρσην.
αὐγήτειρα, φίλιππε, χρόνου μῆτερ, φερέκαρπε.
ἠλεκτρὶς, βαρύθυμε, καταυγάστειρα, νυχία.
πανδερκὴς, φιλάγρυπνε, καλοῖς ἄστροισι βρύουσα.
ἡσυχίᾳ χαίρουσα, καὶ εὐφροσύνῃ ὀλβιομοίρῳ.
λαμπετίη, χαριδῶτι, τελεσφόρε, νυκτὸς ἄγαλμα.
ἀστράρχη, τανύπεπλ᾽, ἑλικόδρομε, πάνσοφε κούρη.
ἐλθὲ μάκαιρ᾽ εὔφρων, εὐάστερε φέγγεϊ τῷ σῷ.
λαμπομένη σῴζουσα τοὺς ἱκέτας σέο κούρη.

### Φύσεως θυμίαμα, ἀρώματα.

φ Ύσι παμμήτειρα θεὰ, πολυμήχανε
μῆτερ.

οὐρανία, πρέσβειρα, πολύκτιτε δαῖμον ἄνασσα.
πανδαμάτωρ, ἀδάμαστε, κυβερνήτειρα, παναυγής·
παντοκράτειρα, τετιμένα, πανυπέρτατε πᾶσιν.
ἄφθιτε, πρωτογένεια, παλαίφατε, κυδιάνειρα.
ἐννυχία, πολύτειρε, σελασφόρε, δεινοκάθεκτε·
ἄψοφον ἀστραγάλοισι ποδῶν ἴχνος εἱλίσσουσα.
ἁγνὴ κοσμήτειρα θεῶν, ἀτελής τε τελευτή.
κοινὴ μὲν πάντεσσιν, ἀκοινώνητε δὲ μούνη.
αὐτοπάτωρ, ἀπάτωρ, ἐρατὴ πολύγηθε μεγίστη.
εὐάνθεια, πλοκή, φιλία, πολύμικτε, δαῆμον.
ἡγεμόνη, κράντειρα, φερέσβιε, παντρόφε κούρη.
αὐτάρκεια, δίκη, χαρίτων πολυώνυμε πειθώ.
αἰθερία, χθονία καὶ εἰναλία μεδέουσα.
πικρὰ μὲν φαύλοισι, γλυκεῖα δὲ πειθομένοισι.
πάνσοφε, πανδώτειρα, κομίστρια, παμβασίλεια
αὐξιτρόφων, πίειρα, πεπαινομένων δὲ λύτειρα.
πάντων μὲν σὺ πατήρ, μήτηρ, τροφὸς, ἠδὲ τιθηνός.
ὠκυλόχεια, μάκαιρα, πολύσπορος, ὡριὰς, ὁρμή.
παντοτεχνὲς, πλάστειρα πολύκτιστε, πότνια δαῖμον.
ἀιδία, κινησιφόρε, πολύπειρε, περίφρων.
ἀενάῳ στροφάλιγγι θοὸν ῥύμα δινεύουσα.
πάνρυτε, κυκλοτερής, ἀλλοτριομορφοδίαιτε.
εὔθρονε, τιμήεσσα, μόνη τὸ κριθὲν τελέουσα.
σκηπτούχων ἐφύπερθε, βαρυβρεμέτειρα κρατίστη.
ἄτρομε, πανδαμάτειρα, πεπρωμένη, αἶσα, πυρίπνους.
ἀίδιος ζωὴ, ἠδ' ἀθανάτη τε πρόνοια.
πάντα σοι εἰσὶ, τὰ πάντα σὺ γὰρ τάδε μούνη τεύχεις.
ἀλλὰ θεὰ λίτομαί σε σὺν εὐόλβοισιν ἐν ὥραις,
εἰρήνην, ὑγίειαν, ἄγειν, αὔξησιν ἁπάντων.

Πανὸς θυμίαμα, ποικίλα.

Π ᾶνα καλῶ κρατερὸν, κόσμοιο τὸ σύμπαν.
οὐρανὸν, ἠδὲ θάλασσαν, ἰδὲ χθόνα παμβασίλειαν.
καὶ πῦρ ἀθάνατον, τάδε γὰρ μέλη ἐστὶ τὰ πανός.
ἐλθὲ μάκαρ σκιρτητὰ, περίδρομε, σύνθρονε ὥραις.
αἰγομελὲς, βάκχευτὰ φιλένθεε, ἀστροδίαιτε.
ἁρμονίαν κόσμοιο κρέκων, φιλοπαίγμονι μολπῇ.
φαντασιῶν ἐπαρωγὲ, φόβων ἔκπαγλε βροτείων.
αἰγονόμοις χαίρων ἀνὰ πίδακας, ἠδέ τε βούταις.
εὔσκοπε, θηρητὴρ, ἠχοῦς φίλε, σύγχορε νυμφῶν.
παντοφυὴς, γενέτωρ πάντων, πολυώνυμε δαῖμον.
κοσμοκράτωρ, αὐξητὰ, φαεσφόρε, κάρπιμε παιὰν
ἀντροχαρὲς, βαρύμηνις, ἀληθὴς ζεὺς ὁ κεράστης.
σοὶ γὰρ ἀπειρέσιον γαίης πέδον ἐστήρικται.
εἴκει δ' ἀκαμάτου πόντου τὸ βαθύσπορον ὕδωρ.
ὠκεανός τε πέριξ ἐν ὕδασι γαῖαν ἑλίσσων.
ἀέριόν τε μέρισμα, τροφῆς ζώοισιν ἔναυσμα.
καὶ κορυφῆς ἐφ' ὕπερθεν ἐλαφροτάτου πυρὸς ὄμμα.
βαίνει γὰρ τάδε θεῖα πολύκριτα, σαῖσιν ἐφετμαῖς.
ἀλλάσσεις δὲ φύσεις πάντων ταῖς σαῖσι προνοίαις.
βόσκων ἀνθρώπων γενεὴν κατ' ἀπείρονα κόσμον.
ἀλλὰ μάκαρ βάκχευτὰ φιλένθεε βαῖν' ἐπὶ λοιβαῖς
εὐιέροις, ἀγαθὴν δ' ὄπασον βιότοιο τελευτήν.
πανικὸν ἐκπέμπων οἶστρον ἐπὶ τέρματα γαίης.

Ηρακλέος θυμίαμα, λίβανον.

Ἡ ρακλες ὀβριμόθυμε, μεγασθενὲς, ἄλκιμε τιτάν.
καρτερόχειρ, ἀδάμαστε, βρύων ἄθλοισι κραταιοῖς.
αἰολόμορφε, χρόνου πάτερ ἀΐδιέ τε εὔφρων.

ἄρρητ', ἀγριόθυμε, πολύλλιτε, παντοδυνάστα.
παγκρατὲς ἦτορ ἔχων, κάρτος μετὰ τόξα, καὶ μάντι.
παμφάγε, παγγενέτωρ, πανυπέρτατε, πᾶσιν ἀρωγέ.
ὃς θνητοῖς κατέπαυσας ἀνήμερα φῦλα διώξας.
εἰρήνην ποθέων κουροτρόφον, ἀγλαότιμον.
αὐτοφυὴς, ἀκάμας, γαίης βλάστημα φέριστον.
πρωτογόνοις στράψας φολίσι μεγαλώνυμε παίων.
ὃς περὶ κρατὶ φορεῖς ἠῶ, καὶ νύκτα μέλαιναν.
δώδεκ' ἀπ' ἀντολιῶν ἄχρι δυσμῶν ἆθλα διέρπων.
ἀθανάτοις πολύπειρος, ἀπείριτος, ἀστυφέλικτος.
ἐλθὲ μάκαρ, νόσων θελκτήρια πάντα κομίζων.
ἐξέλασον δὲ κακὰς ἄτας, κλάδον ἐν χερὶ πάλλων.
πτηνοῖς τ' ἰοβόλοις κῆρας χαλεπὰς ἀπόπεμπε.

Κρόνου θυμίαμα, στύρακα.

ἀ ἰθαλὴς μακάρων τε θεῶν πάτερ, ἠδὲ
καὶ ἀνδρῶν.
ποικιλόβουλ', ἀμίαντε, μεγασθενὲς, ἄλκιμε, τιτάν.
ὃς δαπανᾷς μὲν ἅπαντα, καὶ αὔξεις ἔμπαλιν αὐτὸς
δεσμοὺς ἀρρήκτους ὃς ἔχεις κατ' ἀπείρονα κόσμον.
αἰῶνος κρόνε παγγενέτωρ, κρόνε ποικιλόμυθε.
γαίης τε βλάστημα, καὶ οὐρανοῦ ἀστερόεντος.
γέννας φυὴ, μείωσι, ῥέας πόσι, σεμνὲ προμηθεῦ.
ὃς ναίεις κατὰ πάντα μέρη κόσμοιο γενάρχα.
ἀγκυλομῆτα φέριστε, κλύων ἱκετηρίδα φωνὴν
πέμποις εὔολβον βιότου τέλος αἰὲν ἄμεμπτον.

Ῥέας θυμίαμα ἀρώματα.

π ότνια ῥέα, θύγατερ πολυμόρφου
πρωτογόνοιο.
ἥτ' ἐπὶ ταυροφόρον ἱερότροχον ἅρματι ταίνεις.
τυμπανόδουπε, φιλοιστρομανὲς, χαλκόκροτε κούρη.

παντίμη, ἀγλαόμορφε, Κρόνου σύλλεκτρε μάκαιρα.
οὔρεσιν ἣ χαίρεις, θνητῶν τ᾽ ὀλολύγμασι φρικτοῖς.
παμβασίλεια ῥέα, πολεμόκλονε, ὀβριμόθυμε.
ψευδομένη σώτειρα, λυτηρίς, ἀρχιγένεθλε.
μήτηρ μέν τε θεῶν, ἠδὲ θνητῶν ἀνθρώπων.
ἐκ σοῦ γὰρ καὶ γαῖα, καὶ οὐρανὸς εὐρὺς ὕπερθεν,
καὶ πόντος, πνοιαί τε, φιλόδρομε, ἀερόμορφε.
ἐλθὲ μάκαιρα θεὰ σωτήριος εὔφρονι βουλῇ.
εἰρήνην κατάγουσα σὺν εὐόλβοις κτεάτεσσι.
λύματα, καὶ κῆρας πέμπουσ᾽ ἐπὶ τέρματα γαίης.

Διὸς θυμίαμα, στύρακα.

ζ . εῦ πολύτιμε, ζεῦ ἄφθιτε, τήνδε τοι ἡμεῖς
μαρτυρίαν τιθέμεσθα, λυτήριον, ἠδὲ πρόσευξιν.
ὦ βασιλεῦ, διὰ σὴν κεφαλὴν, ἐφάνη τάδε ῥεῖα.
γαῖα θεὰ μήτηρ, ὀρέων θ᾽ ὑψαύχενες ὄχθοι.
καὶ πόντος, καὶ πάνθ᾽ ὁπόσ᾽ οὐρανὸς ἐντὸς ἔταξε.
ζεῦ κρόνιε, σκηπτοῦχε, καταιβάτα, ὀβριμόθυμε.
παντογένεθλ᾽, ἀρχὴ πάντων, πάντων τε τελευτή.
σεισίχθων, αὐξητὰ, καθάρσιε, παντοτινάκτα.
ἀστραπαῖε, βρονταῖε, κεραύνιε, φυτάλμιε ζεῦ.
κλῦθί μευ αἰολόμορφε, δίδου δ᾽ ὑγίειαν ἀμεμφῆ.
εἰρήνην τε θεὰν, καὶ πλούτου δόξαν ἄμεμπτον.

Ἥρας θυμίαμα, ἀρώματα.

κ υανέοις κόλποισιν ἐνημένη ἀερόμορφε.
ἥρα παμβασίλεια, διὸς σύλλεκτρε μάκαιρα.
ψυχοτρόφους αὔρας θνητοῖς παρέχουσα προσηνεῖς.
ὄμβρων μὲν μῆτερ, ἀνέμων τροφὲ, παντογένεθλε.
χωρὶς γὰρ σέθεν, οὐδὲν ὅλως ζωῆς φύσιν ἔγνω.
κοινωνεῖς γὰρ ἅπασι κεκραμένη ἠέρι σεμνῷ.

πάντων γὰρ κρατέεις μούνη, πάντεσσί τ' ἀνάσσεις.
ἠερίοις ῥοίζοισι τιναζομένη κατὰ χεῦμα.
ἀλλὰ μάκαιρα θεὰ πολυώνυμε, παμβασίλεια,
ἔλθοις εὐμενέουσα καλῷ γήθοντι προσώπῳ.

Ποσειδῶνος θυμίαμα σμύρναν.

κ λῦθι ποσειδάον, γαιήοχε, κυανο-
χαῖτα.
ἵππιε, χαλκοτόρευτον ἔχων χείρεσσι τρίαιναν.
ὃς ναίεις πόντοιο βαθυστέρνοιο θέμεθλα.
ποντομέδων, ἁλίδουπε, βαρύκτυπε, ἐννοσίγαιε.
κυμοθαλὴς, χαριτῶπα, τετράορον ἅρμα διώκων.
εἰναλίοις ῥοίζοισι τινάσσων ἁλμυρὸν ὕδωρ.
ὃς τριτάτης ἔλαχες μοίρης βαθὺ χεῦμα θαλάσσης.
κύμασι τερπόμενος, θηρσίν θ' ἅμα, πόντιε δαῖμον.
ἕδρανα γῆς σώζοις, καὶ νηῶν εὔδρομον ὁρμήν.
εἰρήνην, ὑγίειαν ἄγων, ἠδ' ὄλβον ἀμεμφῆ.

Εἰς πλούτωνα.

ω τὸν ὑποχθόνιον ναίων δόμον ὄβρι
μόθυμε,
ταρτάριον λειμῶνα βαθύσκιον, ἠδὲ λιπαυγῆ.
ζεῦ χθόνιε σκηπτοῦχε, τάδ' ἱερὰ δέξο προθύμως.
πλούτων ὃς κατέχεις γαίης κληῖδας ἁπάσης.
πλουτοδοτῶν γενεὴν βροτέην καρποῖς ἐνιαυτῶν.
ὃς τριτάτης μοίρης ἔλαχες χθόνα παμβασίλειαν.
ἕδραν ἀθανάτων, θνητῶν στήριγμα κραταιόν.
ὃς θρόνον ἐστήριξας ὑπὸ ζοφοειδέα χῶρον.
τηλέπορον τ' ἀκάμαντα, λιπόπνοον, ἄκριτον ἅδην.
κυάνεόν τ' ἀχέροντά θ', ὃς ἔχει ῥιζώματα γαίης.
ὃς κρατέεις θνητῶν θανάτου χάριν ὦ πολυδαῖμον.
εὔβουλ', ἁγνοπόλου δημήτρος ὅς ποτε παῖδα,

νυμφεύσας, λειμῶνος ἀποσπαδίην διὰ πόντου
τετρώροις ἵπποισιν ὑπ' ἀτθίδος ἤγαγες ἄντρον,
δήμου ἐλευσῖνος, τόθι περ πύλαι εἰσ' ἀΐδαο.
μοῦνος ἔφυς ἀφανῶν ἔργων φανερῶν τε βραβευτής.
ἔνθεε, παντοκράτωρ, ἱερώτατε ἀγλαότιμε.
σεμνοῖς μυστοπόλοις χαίρων, ὁσίοις τε σεβασμοῖς.
ἵλεον ἀγκαλέω σε μολεῖν κεχαρηότα μύσταις.

Κεραυνίου Διὸς θυμίαμα, στύρακα.

ζ ὦ πάτερ, ὑψίδρομον πυραυγέα κόσμον ἐλαύνων,
στράπτων αἰθερίου στεροπῆς πανυπέρτατον αἴγλην.
παμμακάρων ἕδρανον θείαις βρονταῖσι τινάσσων.
νάμασι παννεφέλοις στεροπὴν φλεγέθουσαν ἀναίθων.
λαίλαπας, ὄμβρους, πρηστῆρας, κρατεροὺς τε κεραυνοὺς
βάλλων ἐν ῥοθίοις φλογερούς, βελέεσσι καλύπτων,
παμφλέκτους, κρατεροὺς, φρικώδεας, ὀβριμόθυμε
πτηνὸν ὅπλον δεινὸν, κλονοκάρδιον, ὀρθοέθειρον,
αἰφνίδιον, βρονταῖον, ἀνίκητον βέλος ἁγνόν.
ῥοίζου ἀπειρεσίου δινήμασι παμφάγον ὁρμῇ.
ἄρρηκτον, βαρύθυμον, ἀμαιμάκετον, πρηστῆρος,
οὐράνιον βέλος, ὀξὺ, καταιβάτου αἰθαλόεντος.
ὃν καὶ γαῖα πέφρικε, θάλασσά τε παμφανόωσα.
καὶ θῆρες πτήσσουσιν, ὅταν κτύπος οὖας ἐσέλθῃ.
μαρμαίρει δὲ πρόσω ἐπ' αὐγαῖς. σμαραγεῖ δὲ κεραυνός.
αἰθέρος ἐν γυάλοισι διαρρήξας δὲ χιτῶνα,
οὐράνιον προκάλυμμα βάλλεις ἀργῆτα κεραυνόν.
ἀλλὰ μάκαρ θυμὸν ὄβριμον ἔμβαλε κύμασι πόντου,
ἠδ' ὀρέων κορυφαῖσι. τὸ σὸν κράτος ἴσμεν ἅπαντες.
ἀλλὰ χάριν λοιβαῖσι δίδου, φρεσὶν αἴσιμα πάντα
ζωήν τ' ὀλβιόθυμον, ὁμοῦ θ', ὑγίειαν ἄνασσαν.

καὶ βίον εὐθύμοισιν ἀεὶ θάλλοντα λογισμοῖς.

Διὸς ἀστραπαίου θυμίαμα, λιβανομάνναν.

Κικλήσκω μέγαν, ἁγνὸν, ἐρισμάραγον, περίφαντον.
ἀέριον, φλογόεντα, πυρίδρομον, ἀδεφεγγῆ.
ἀστράπτοντα σέλας νεφέων παταγοδρόμῳ αὐδῇ.
φρικώδη, βαρύμηνιν, ἀνίκητον, θεὸν ἁγνόν.
ἀστραπίαν δία, παγγενέτην, βασιλῆα μέγιστον.
εὐμενέοντα φέρειν γλυκερὴν βιότοιο τελευτήν.

Νεφελῶν θυμίαμα σμύρναν.

Ἀέριοι νεφέλαι, καρποτρόφοι, οὐρανόπλαγκτοι.
ὀμβροτόκοι, πνοιαῖσιν ἐλαυνόμεναι κατὰ κόσμον.
βρονταῖαι, πυρόεσσαι, ἐρίβρομοι, ὑγροκέλευθοι,
ἀέρος ἐν κόλπῳ πάταγον φρικώδη ἔχουσαι
πνεύμασιν ἀντίαυκσαι, ἐπιδρομάδην παταγεῦσαι.
ὑμᾶς νῦν λίτομαι δροσοείμονες, εὔπνοοι, αὔραις
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

Θαλάσσης θυμίαμα λιβανομάνναν.

Ὠκεανοῦ καλέω νύμφην γλαυκώπιδα τηθύν.
κυανόπεπλον ἄνασσαν ἐΰζοχα κυμαίνουσαν.
αὔραις ἡδυπνόοισι πατασσομένην περὶ γαῖαν.
θραύουσ' αἰγιαλοῖσι πέτρῃσί τε κύματα μακρὰ
εὐδίνοις ἁπαλοῖσι γαληνιόωσα δρόμοισι,
ναυσὶν ἀγαλλομένη, θηροτρόφε, ὑγροκέλευθε.
μήτηρ μὲν κύπριδος, μήτηρ νεφέων ἐρεβεννῶν.
καὶ πάσης πηγῆς, νυμφῶν νασμοῖσι βρυούσης.
κλῦθί μευ ὦ πολύσεμνε καὶ εὐμενέουσ' ἐπαρήγοις.
εὐθυδρόμοις οὖρον ναυσὶν πέμπουσα μάκαιρα.

Νηρέως θυμίαμα, σμύρναν.

Ὦ κατέχων πόντου ῥίζας κυαναυγέτιν ἕδρην.
πεντήκοντα κόραισιν ἀγαλλόμενος κατὰ κῦμα.
καλλιτέκνοισι χοροῖς, Νηρεῦ μεγαλώνυμε δαῖμον.
πυθμὴν μὲν πόντου, γαίης πέρας, ἀρχὴ ἁπάντων.
ὃς κλονέεις Δηοῦς ἱερὸν βάθρον, ἡνίκα πνοιὰς
ἐν μυχίοις κευθμῶσιν ἐλαυνομένας ἀποκλείεις.
ἀλλὰ μάκαρ, σεισμοὺς μὲν ἀπότρεπε, πέμπε δὲ μύσταις
ὄλβον ἐπ' εἰρήνην τε καὶ ὀλβιόχειρον ὑγείην.

Νηρηίδων θυμίαμα, ἀρώματα.

Νηρέως εἰνάλιαι νύμφαι καλυκώπιδες ἁγναί.
σφράγισαι, βύθιαι, χοροπαίγμονες, ὑγροκέλευθοι.
πεντήκοντα κόραι περὶ κύμασι βακχεύουσαι.
Τριτώνων ἐπ' ὄχοισιν ἀγαλλόμεναι περὶ νῶτα.
θηροτύποις μορφαῖς, ὧν βόσκει σώμαθ' ὁ πόντος.
ἄλλοι θ', οἳ ναίουσι βυθὸν ποντώνιον οἶδμα.
ὑδροδόμοι, σκιρτηταὶ, ἑλισσόμενοι περὶ κῦμα.
ποντοπλάνοι, δελφῖνες, ἁλιῤῥόθιοι, κυαναυγεῖς.
ὑμᾶς κικλήσκω πέμπειν μύσταις πολὺν ὄλβον.
ὑμεῖς γὰρ πρῶται τελετὴν ἀνεδείξατε σεμνὴν
εὐιέρου Βάκχοιο, καὶ ἁγνῆς Φερσεφονείης.
Καλλιόπῃ σὺν μητρὶ, καὶ Ἀπόλλωνι ἄνακτι.

Πρωτέως θυμίαμα, στύρακα.

Πρωτέα κικλήσκω, πόντου κληῖδας ἔχοντα.
πρωτογενῆ, πάσης φύσεως ἀρχὰς ὃς ἔφηνεν.
ὕλην ἀλλάσσων ἱερὴν ἰδέαις πολυμόρφοις.
πάντιμος, πολύβουλος, ἐπιστάμενος τά τε ὄντα,

ὅσα τε πρόσθεν ἔην· ὅσα τ' ἔσσεται ὕστερον αὖτις.
πάντα γὰρ πρωτεῖ πρώτη φύσις ἐγκατέθηκεν.
ἀλλὰ πάτερ μόλε μυστιπόλοις ὁσίαισι προνοίαις,
πέμπων ὀλβίου βιότου τέλος ἐσθλὸν ἐπ' ἔργοις.

Γῆς θυμίαμα, πᾶν σπέρμα, πλὴν κυάμων καὶ ἀρωμάτων.

γ αἶα θεὰ, μῆτερ μακάρων, θνητῶν τ' ἀνθρώπων.
πάντροφε, πανδώτειρα, τελεσφόρε, παντολέτειρα.
αὐξιθαλὴς, φερέκαρπε, καλαῖς ὥραισι βρύουσα·
ἕδρανον ἀθανάτου κόσμου πολυποίκιλε κούρη.
ἣ λοχίαις ὠδῖσι κύεις καρπὸν πολυειδῆ.
ἀϊδία πολύσεπτε βαθύστερν' ὀλβιόμοιρε·
ἡδυπνόοις χαίρουσα χλόαις πολυανθέσι δαῖμον.
ὀμβροχαρὴς, περὶ ἣν κόσμος πολυδαίδαλος ἄστρων,
εἱλεῖται φύσει ἀενάῳ, καὶ ῥεύμασι δεινοῖς.
ἀλλὰ μάκαιρα θεὰ, καρποὺς αὔξοις πολυγηθεῖς·
εὐμενὲς ἦτορ ἔχουσα σὺν ὀλβίοισιν ἐν ὥραις.

Μητρὸς θεῶν θυμίαμα, ποικίλα.

α θανάτων θεότιμε θεῶν μῆτερ τροφὲ πάντων.
τῇδε μόλοις κράτειρα θεὰ, σέο πότνι' ἐπ' εὐχαῖς.
ταυροφόνων ζεύξασα ταχύδρομον ἅρμα λεόντων.
σκηπτοῦχε κλεινοῖο πόλου, πολυώνυμε σεμνή·
ἣ κατέχεις κόσμοιο μέσον θρόνον, οὕνεκεν αὐτὴ
γαῖαν ἔχεις, θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς,
ἐκ σέο δ' ἀθανάτων τε γένος, θνητῶν τ' ἐλοχεύθη.
σοὶ ποταμοὶ κρατέονται ἀεὶ, καὶ πᾶσα θάλασσα·
ἱστία, αὐδάχθης, σὲ δὲ ὀλβοδότιν καλέουσι,
παντοίων ἀγαθῶν θνητοῖς ὅτι δῶρα χαρίζῃ.

ἔρχεο πρὸς τελετὴν ὦ πότνια τυμπανοτέρπη·
πανδαμάτωρ, φρυγίης σώτειρα, κρόνου συνόμευνε·
οὐρανόπαι, πρέσβειρα, βιοθρέπτειρα, φίλοιστρε·
ἔρχεο γηθόσυνος κεχαρισμένη εὐσεβίῃσιν.

### Ερμοῦ θυμίαμα λίβανον.

κ λῦθί μου ἑρμεία διὸς ἄγγελε, μαιάδος υἱέ.
παγκρατὲς ἦτορ ἔχων, ἐναγώνιε, κοίρανε θνητῶν·
εὔφρων, ποικιλόβουλε, διάκτορε, ἀργειφόντα·
πτηνοπέδιλε, φίλανδρε, λόγου θνητοῖσι προφῆτα·
γυμνάσιν ὃς χαίρεις, δολίαις τ' ἀπάταις, τροφιοῦχε·
ἑρμηνεῦ πάντων, κερδέμπορε, λυσιμέριμνε·
ὃς χείρεσσιν ἔχεις εἰρήνης ὅπλον ἀμεμφές·
κωρυκιῶτα, μάκαρ ἐριούνιε, ποικιλόμυθε·
ἐργασίαις ἐπαρωγὲ, φίλε θνητοῖς ἐν ἀνάγκαις·
γλώσσης δεινὸν ὅπλον τὸ σεβάσμιον ἀνθρώποισι·
κλῦθί μου εὐχομένου βιότου τέλος ἐσθλὸν ὀπάζων,
ἐργασίαισι, λόγου χάρισιν, καὶ μνημοσύνῃσιν.

### Υμνος περσεφόνης·

π ερσεφόνη θύγατερ μεγάλου διὸς ἐλθὲ μάκαιρα.
μουνογένεια θεὰ, κεχαρισμένα δ' ἱερὰ δέξαι·
πλούτωνος πολύτιμε δάμαρ, κεδνὴ βιοδῶτι·
ἣ κατέχεις ἀΐδαο πύλας ὑπὸ κεύθεα γαίης·
πραξιδίκη, ἐρατοπλόκαμε, δηοῦς θάλος ἁγνόν·
εὐμενίδων γενέτειρα, ὑποχθονίων βασίλεια·
ἣν ζεὺς ἀρρήτοισι γοναῖς τεκνώσατο κούρην·
μῆτερ ἐριβρεμέτου, πολυμόρφου, εὐβουλῆος.
ὡρῶν συμπαίκτειρα, φαεσφόρε, ἀγλαόμορφε·
σεμνὴ, παντοκράτειρα, κόρη, καρποῖσι βρύουσα·
εὐφεγγὴς, κερόεσσα, μόνη θνητοῖσι ποθεινή·
εἰαρινὴ, λειμωνιάσιν χαίρουσα πνοῇσιν·

ἱερὸν ἐκφαίνουσα δέμας βλαστοῖς χλοοκάρποις.
ἁρπαγιμαία, λεχοῖ, μετοπωρινὰ νυμφευθεῖσα.
ζωὴ, καὶ θάνατος μούνη, θνητοῖς πολυμόχθοις,
φερσεφόνεια, φέρεις γὰρ ἀεὶ, καὶ πάντα φονεύεις.
κλῦθι μάκαιρα θεὰ, καρποὺς δ' ἀνάπεμπ' ἀπὸ γαίης.
εἰρήνη θάλλουσα, καὶ ἠπιόχειρ ὑγιείᾳ.
καὶ βίῳ ὀλβίῳ, λιπαρὸν γῆρας κατάγοντι.
πρὸς σὸν χῶρον ἄνασσα καὶ εὐδυνάτον πλούτωνα.

Διονύσου θυμίαμα, στύρακα.

κ ικλήσκω διόνυσον, ἐρίβρομον εὐαστῆρα.
πρωτόγονον, διφυῆ, τρίγονον, βακχεῖον ἄνακτα.
ἄγριον, ἄρρητον, κρύφιον, δικέρωτα, δίμορφον.
κισσόβρυον, ταυρωπὸν, ἀρήϊον, εὔιον, ἁγνόν.
ὠμάδιον, τριετῆ, βοτρυοφόρον, ἐρνεσίπεπλον.
εὔβουλ', ὦ πολύβουλε, διὸς, καὶ περσεφονείης,
ἀρρήτοις λέκτροισι τεκνωθεὶς, ἄμβροτε δαῖμον.
κλῦθι μάκαρ φωνῆς, ἡδὺς δ' ἐπίπνευσον ἀμεμφὴς
εὐμενὲς ἦτορ ἔχων, σὺν εὐζώνοισι τιθήναις.

Ὕμνος κουρήτων.

σ κιρτηταὶ κουρῆτες, ἐνόπλια βήματα θέντες.
ποσσίκροτοι, ῥομβηταὶ, ὀρέστεροι, εὐαστῆρες.
κρουσολύραι, παράρυθμοι, ἐπεμβάται ἴχνεσι κούφοις.
ὁπλοφόροι, φύλακες, κοσμήτορες, ἀγλαόφημοι.
μητρὸς ὀρειομανοῦς συνοπάονες, ὀργιοφάνται.
ἔλθοιτ' εὐμενέοντες, ἐπ' εὐφήμοισι λόγοισι.
βουκόλῳ εὐάντητοι ἀεὶ κεχαρηότι θυμῷ.

Ὕμνος ἀθηνᾶς.

π αλλὰς μουνογενὴς, μεγάλου διὸς ἔγγονε σεμνή.

δῖα μάκαιρα θεὰ, πολεμόκλονε, ὀβριμόθυμε.
ἄῤῥητ', αὖ ῥητὴ, μεγαλώνυμε, ἀντροδίαιτε.
ἣ διάγεις ὄχθους ὑψαύχενας ἀκρωρείους.
ἠδ' ὄρεα σκιόεντα, νάπαισί τε σὴν φρένα τέρπεις.
ὁπλοχαρὴς, οἰστροῦσα βροτῶν ψυχὰς μανίαισι.
γυμνάζουσα κόρη, φρικώδη θυμὸν ἔχουσα.
γοργοφόνε, φυγόλεκτε, τεχνῶν μῆτερ πολύολβε.
ὁρμάστειρα, φίλοιστρε κακοῖς, ἀγαθοῖς δὲ φρόνησις.
ἄρσην μὲν καὶ θῆλυς ἔφυς, πολεμάρχε, μῆτι.
αἰολόμορφε, δράκαινα, φιλένθεε, ἀγλαότιμε.
φλεγραίων ὀλέτειρα, γιγάντων ἱππελάτειρα.
τριτογένεια, λύτειρα κακῶν, νικηφόρε δαῖμον.
ἤματα, καὶ νύκτας αἰεὶ νεάταισιν ἐν ὥραις,
κλῦθί μου εὐχομένου, δὸς δ' εἰρήνην πολύολβον.
καὶ κόρον, ἠδ' ὑγίειαν, ἐπ' εὐόλβοισιν ἐν ὥραις.
γλαυκῶπ', εὑρεσίτεχνε, πολυλλίστη βασίλεια.

Νίκης θυμίαμα, μάνναν.

ε υδύνατον καλέω νίκην, θνητοῖσι
ποθεινήν.
ἣ μούνη λύει θνητῶν ἐναγώνιον ὁρμὴν,
καὶ στάσιν ἀγγελόεσσαν, ἐπ' ἀντιπάλοισι μάχαισιν.
ἐν πολέμοις κρίνουσα προσαιχμίοισιν ἐπ' ἔργοις.
οἷς ἂν ἐφορμαίνουσα φέροις γλυκερώτατον εὖχος.
πάντων γὰρ κρατέεις, πάσης δ' ἔριδος κλέος ἐσθλόν.
νίκη ἐπ' εὐδόξῳ κεῖται, θαλίαισι βρυάζον.
ἀλλὰ μάκαιρ' ἔλθοις πεποθημένῃ ὄμματι φαιδρῷ.
αἰεὶ ἐπ' εὐδόξοις κλέος ἔργοις ἐσθλὸν ἄγουσα.

Ἀπόλλωνος θυμίαμα, μάνναν.

ε λθὲ μάκαρ παιὰν, τιτυοκτόνε, φοῖβε
λυκωρεῦ.

μεμφῖτ', ἀγλαότιμε, ἰήιε, ὀλβιοδῶτα.
χρυσολύρη, σπέρμειε, ἀρότριε, πύθιε, τιτάν.
γρύνειε, καὶ σμινθεῦ, πυθοκτόνε, δελφικὲ, μάντι.
ἄγριε, φωσφόρε δαῖμον ἐράσμιε, κύδιμε, κοῦρε.
μουσαγέτα, χοροποιὲ, ἑκηβόλε, τοξοβέλεμνε.
βάκχιε, καὶ διδυμεῦ, ἑκάεργε λοξία, ἁγνέ.
δήλι' ἄναξ, πανδερκὲς ἔχων φαεσίμβροτον ὄμμα.
χρυσοκόμα. καθαρὰς φήμας, χρησμούς τ' ἀναφαίνων
κλῦθί μευ εὐχομένου λαῶν ὕπερ, εὔφρονι θυμῷ.
τόν δε σὺ γὰρ λεύσσεις τὸν ἀπείριτον αἰθέρα πάντα.
γαῖαν τ' ὀλβιόμοιρον, ὕπερθέ τε, καὶ διὰ μολγοῦ.
νυκτὸς ἐν ἡσυχίαισιν ὑπ' ἀστεροόμματον ὄρφνην.
ῥίζας νέρθε δέδορκας, ἔχεις δέ τε πείρατα κόσμου
παντὸς, σοὶ δ' ἀρχή τε, τελευτή τ' ἐστὶ μέλουσα,
παντοθαλὴς, σὺ δὲ πάντα πόλον κιθάρῃ πολυκρέκτῳ
ἁρμόζεις ὁτὲ μὲν νεάτης ἐπὶ τέρματα βαίνων,
ἄλλοτε δ' αὖθ' ὑπάτην, ποτὲ δώριον εἰς διάκοσμον.
πάντα πόλον κρίνας, κρίνεις βιοθρέμμονα φῦλα.
ἁρμονίῃ κεράσας παγκόσμιον ἀνδράσι μοῖραν.
μίξας χειμῶνος θέρεός τ' ἴσον ἀμφοτέροισιν.
εἰς ὑπάτας χειμῶνα, θέρος νεάταις διακρίνας.
δώριον εἰς ἔαρος πολυηράτου ὥριον ἄνθος.
ἔνθεν ἐπωνυμίαις σε βροτοὶ κλήζουσιν ἄνακτα
πᾶνα, θεὸν δικέρωτ', ἀνέμων συρίγμαθ' ἱέντα.
οὕνεκα παντὸς ἔχεις κόσμου σφραγῖδα τυπῶτιν.
κλῦθι μάκαρ σώζων μύστας ἱκετηρίδι φωνῇ.

Λητοῦς θυμίαμα, σμύρναν.

Λητὼ κυανόπεπλε, θεὰ διδυματόκε,
σεμνή.
κοιαντὶς μεγάθυμε, πολυλλίστη βασίλεια

εὔτεκνον ζηνὸς γονίμην ὠδῖνα λαχοῦσα,
γειναμένη φοῖβόν τε, καὶ ἄρτεμιν ἰοχέαιραν.
τὴν μὲν, ἐν ὀρτυγίῃ, τὸν δὲ, κραναῇ ἐνὶ δήλῳ.
κλῦθι θεὰ δέσποινα, καὶ ἵλαον ἦτορ ἔχουσα,
βαῖν' ἐπὶ πάνθειον τελετὴν, τέλος ἡδὺ φέρουσα.

Ἀρτέμιδος θυμίαμα, μάνναν.

α κλῦθί μευ ὦ βασίλεια, διὸς πολυώνυμε κούρη.
τιτανὶς, βρομία, μεγαλώνυμε, τοξότι σεμνή.
πασιφαὴς δᾳδοῦχε, θεὰ δίκτυννα, λοχεία.
ὠδίνων ἐπαρωγὲ, καὶ ὠδίνων ἀμύητε.
λυσίζωνε φίλοιστρε, κυνηγέτι, λυσιμέριμνε.
εὔδρομε, ἰοχέαιρα, φιλαγρότι, νυκτροφόιτε.
κλησία, εὐάντητε, λυτηρία, ἀρσενόμορφε.
ὀρθία, ὠκυλόχεια, βροτῶν κουροτρόφε δαῖμον.
ἀμβροτέρα, χθονία, θηροκτόνε, ὀλβιόμοιρε.
ἣ κατέχεις ὀρέων δρυμοὺς, ἐλαφηβόλε σεμνή.
πότνια, παμβασίλεια, καλὸν θάλος αἰὲν ἐοῦσα.
δρυμονία, σκυλακῖτι, κυδωνιὰς, αἰολόμορφε.
ἐλθὲ θεὰ σώτειρα, φίλη μύστῃσιν ἅπασιν.
εὐάντητος, ἄγουσα καλοὺς καρποὺς ἀπὸ γαίης.
εἰρήνην τ' ἐρατὴν, καλλιπλόκαμόν θ' ὑγίειαν.
πέμποις δ' εἰς ὀρέων κεφαλὰς, νούσους τε, καὶ ἄλγη.

Τιτάνων θυμίαμα, λίβανον.

τ τιτῆνες γαίης τε, καὶ οὐρανοῦ ἀγλαὰ τέκνα.
ἡμετέρων πρόγονοι πατέρων, γαίης ὑπένερθεν
οἴκοις ταρταρίοισι μυχῷ χθονὸς ἐνναίοντες.
ἀρχαὶ, καὶ πηγαὶ πάντων θνητῶν πολυμόχθων.
εἰναλίων, πτηνῶν τε, καὶ οἳ χθόνα ναιετάουσιν.

ἐξ ὑμέων γὰρ πᾶσα πέλει γενεὰ κατὰ κόσμον.
ὑμᾶς κικλήσκω μῆνιν χαλεπὴν ἀποπέμπειν.
ἥτις ἀπὸ χθονίων προγόνων οἴκοις ἐπελάσθη.

Κουρήτων θυμίαμα, λίβανον.

λ χαλκόκροτοι κουρῆτες, ἀρήια τεύχε' ἔχοντες.

οὐράνιοι χθόνιοί τε, καὶ εἰνάλιοι πολύολβοι.
ζωογόνοι πνοιαί, κόσμου σωτῆρες ἀγαυοί.
οἵτε σαμοθρᾴκην ἱερὴν χθόνα ναιετάοντες.
κινδύνους θνητῶν ἀπερύκετε ποντοπλανήτων.
ὑμεῖς καὶ τελετὴν πρῶτοι μερόπεσσιν ἔθεσθε
ἀθάνατοι κουρῆτες, ἀρήια τεύχε' ἔχοντες,
νωμᾶτ' ὠκεανόν, νωμᾶθ' ἅλα, δένδρεά θ' αὕτως.
ἐρχόμενοι γαῖαν κοναβίζετε ποσὶν ἐλαφροῖς.
μαρμαίροντες ὅπλοις, πτήσσουσι δὲ θῆρες ἅπαντες
ὁρμώντων, θόρυβος δὲ βοή τ' εἰς οὐρανὸν ἵκει.
ἑλιγμοῖς τε ποδῶν κονίη νεφέλην ἀφικάνει,
ἐρχομένων· τότε δή ῥα καὶ ἄνθεα πάντα τέθηλεν.
δαίμονες ἀθάνατοι τροφέες, καὶ αὐτολετῆρες.
ἡνίκ' ἂν ὁρμαίνωνται χολούμενοι ἀνθρώποισιν.
ὀλλῦντες βίον καὶ κτήματα, ἠδὲ καὶ αὐτούς,
πιμπλάντες· στενάχει δὲ μέγας πόντος βαθυδίνης,
δένδρη δ' ὑψικάρηνα ἐκ ῥιζῶν ἐς χθόνα πίπτει.
ἠχὼ δ' οὐρανία κελαδεῖ ῥοιζήμασι φύλλων.
κουρῆτες, κορύβαντες, ἀνάκτορες, εὐδυνατοί τε.
ἐν σαμοθρᾴκῃ ἄνακτες, ὁμοῦ διὸς κόροι αὐτοί.
πνοιαὶ ἀέναοι, ψυχοτρόφοι, ἀεροειδεῖς.
οἵτε καὶ οὐράνιοι, δίδυμοι, κλήζεσθ' ἐν ὀλύμπῳ.
εὔπνοοι, εὔδιοι, σωτήριοι, ἠδὲ προσηνεῖς.
ὡροτρόφοι, φερέκαρποι, ἐπίπνοιοί τε ἄνακτες.

Κορύβαντος θυμίαμα, λίβανον.

Κικλήσκω χθονὸς ἀενάου βασιλῆα μέγιστον.
κύρβαντ', ὀλβιόμοιρον, ἀρήιον, ἀπροσόρατον.
νυκτερινὸν κούρητα, φόβων ἀποπαύστορα δεινῶν.
φαντασιῶν ἐπαρωγὸν, ἐρημοπλάναν κορύβαντα.
αἰολόμορφον ἄνακτα, θεὸν διφυῆ, πολύμορφον.
φοίνιον, αἱμαχθέντα κασιγνήτων ὑπὸ δισσῶν.
δηοῦς ὃς γνώμαισιν ἐνήλλαξεν δέμας ἁγνὸν.
θηροτύπου θέμενος μορφὴν δνοφεροῖο δράκοντος.
κλῦθι μάκαρ φωνῶν, χαλεπὴν δ' ἀποπέμπεο μῆνιν
παύων φαντασίας ψυχῆς ἐκπλήκτου ἀνάγκης.

Δήμητρος ἐλευσινίας θυμίαμα, στύρακα.

Δηὼ παμμήτειρα θεὰ, πολυώνυμε δαῖμον.
σεμνὴ δήμητερ, κουροτρόφε, ὀλβιοδῶτι,
πλουτοδότειρα θεὰ, σταχυοτρόφε, παντοδότειρα.
εἰρήνῃ χαίρουσα, καὶ ἐργασίαις πολυμόχθοις.
σπερμεία, σωρῖτι, ἀλωαία, χλοόκαρπε.
ἣ ναίεις ἁγνοῖσιν ἐλευσῖνος γυάλοισιν.
ἱμερόεσσ' ἐρατὴ, θνητῶν θρέπτειρα προπάντων.
ἡ πρώτη ζεύξασα βοῶν ἀροτῆρα τένοντα,
καὶ βίον ἱμερόεντα βροτοῖς πολύολβον ἀνεῖσα,
αὐξιθαλὴς, βρομίοιο συνέστιος, ἀγλαότιμος.
λαμπαδόεσσ' ἁγνὴ, δρεπάνοις χαίρουσα θερείοις.
σὺ χθονία, σὺ δὲ φαινομένη, σὺ δὲ πᾶσι προσηνής.
εὔτεκνε, παιδοφίλη, σεμνὴ, κουροτρόφε κούρα.
ἅρμα δρακοντείοισιν ὑποζεύξασα χαλινοῖς.
ἐγκυκλίοις δίναις περὶ σὸν θρόνον εὐάζουσα.
μουνογενὴς πολύτεκνε θεὰ, πολυπότνια θνητοῖς

ἧς πολλαὶ μορφαὶ, πολυάνθεμοι, ἱεροθαλλεῖς.
ἔλθὲ μάκαιρ', ἁγνὴ, καρποῖς βρίθουσα θερείοις.
εἰρήνην κατάγουσα, καὶ εὐνομίην ἐρατεινήν.
καὶ πλοῦτον πολύολβον, ὁμοῦ δ' ὑγίειαν ἄνασσαν.

Μητρὸς Ἀνταίας θυμίαμα, ἀρώματα.

Ἀνταία βασίλεια θεᾶ πολυώνυμε μῆτερ.
ἀθανάτων τε θεῶν, ἠδὲ θνητῶν ἀνθρώπων.
ἥ ποτε μαστεύουσα πολυπλάγκτῳ ἐν ἀνίῃ.
νηστείαν κατέπαυσας ἐλευσῖνος γυάλοισιν.
ἦλθες εἰς ἀΐδην, πρὸς ἀγαυὴν περσεφόνειαν.
δύσαυλος, παῖδ' ἁγνὸν ὁδηγητῆρα λαχοῦσα·
μηνυτῆρ' ἁγίων λέκτρων, χθονίου διὸς ἁγνοῦ.
εὔβουλον τέξασα θεὸν θνητῆς ὑπ' ἀνάγκης·
ἀλλὰ θεὰ λίτομαί σε πολυλλίστη βασίλεια,
ἐλθεῖν εὐάντητον ἐπ' εὐιέρῳ σέο μύστῃ.

Μίσης θυμίαμα, στύρακα.

Θεσμοφόρον καλέω ναρθηκοφόρον διόνυσον.
σπέρμα πολύμνηστον, πολυώνυμον εὐβουλῆος
ἁγνὴν, εὐίερόν τε μίσην ἄρρητον ἄνασσαν.
ἄρσενα, καὶ θῆλυν, διφυῆ, λύσειον, ἴακχον.
εἴτ' ἐν ἐλευσῖνος τέρπῃ νηῷ θυόεντι.
εἴτε καὶ ἐν φρυγίῃ σὺν μητέρι μυστιπολεύεις.
ἢ κύπρῳ τέρπῃ σὺν ἐϋστεφάνῳ κυθερείῃ.
ἢ καὶ πυροφόροις πεδίοις ἐπαγάλλεαι ἁγνοῖς.
σὺν σῇ μητρὶ θεᾷ μελανηφόρῳ ἴσιδι σεμνῇ.
αἰγύπτου παρὰ χεῦμα σὺν ἀμφιπόλοισι τιθήναις.
εὐμενέουσ' ἔλθοις ἀγαθῆς τελέουσ' ἐπ' ἀέθλοις.

Ὡρῶν θυμίαμα, ἀρώματα.

Ὧραι θυγατέρες θέμιδος, καὶ ζηνὸς
ἄνακτος.

ἐυνομίητε, δίκητε, καὶ εἰρήνη πολύολβε.
εἰαριναί, λειμωνιάδες, πολυάνθεμοι, ἁγναὶ
παντόχροοι, πολύοδμοι, ἐν ἀνθεμοειδέσι πνοιαῖς
ὧραι ἀειθαλέες, περικυκλάδες, ἡδυπρόσωποι.
πέπλους ἑννύμεναι δροσεροὺς ἀνθῶν πολυθρέπτων.
περσεφόνης συμπαίκτορες, ἡνίκα μοῖραι ταύτην
καὶ χάριτες κυκλίοισι χοροῖς πρὸς φῶς ἀνάγωσι.
ζηνὶ χαριζόμεναι, καὶ μητέρι καρποδοτείρῃ.
ἔλθετ' ἐπ' εὐφήμους τελετάς, ὁσίας, νεομύστους.
εὐκάρπους καιρῶν γενέσεις ἐπάγουσαι ἀμεμφῶς.

Σεμέλης θυμίαμα, στύρακα.

Κικλήσκω κούρην καδμηΐδα παμ-
βασίλειαν.
εὐειδῆ σε μέλην, ἐρατοπλόκαμον, βαθύκολπον.
μητέρα θυρσοφόροιο διωνύσου, πολυγηθοῦς,
ἣ μεγάλας ὠδῖνας ἐλύσατο πυρφόρῳ αὐγῇ.
ἀθανάτοιο τεκοῦσα διὸς βουλαῖς κρονίοιο.
τιμὰς τευξαμένη παρ' αὐτῆς περσεφονείης,
ἐν θνητοῖσι βροτοῖσιν ἀνὰ τριετηρίδας ὥρας.
ἡνίκα σοῦ βάκχου γονίμην ὠδῖνα τελῶσιν,
εὐιερόν τε τράπεζαν, ἰδὲ μυστήριά θ' ἁγνά.
νῦν σε θεὰ λίτομαι κούρη καδμηὶς ἄνασσα.
πρηΰνοον καλέων αἰεὶ μύσταισιν ὑπάρχειν.

Ὕμνος διονύσου βασσαρέως τριετηρικοῦ.

Ἐλθὲ μάκαρ διόνυσε, πυρίσπορε, ταυρο-
μέτωπε.
βάσσαρε, καὶ βακχεῦ, πολυώνυμε, παντοδυνάστα.
ὃς ξίφεσι χαίρεις, ἠδ' αἵμασι, μαινάσι θ' ἁγναῖς.
εὐάζων κατ' ὄλυμπον, ἐρίβρομε, μανικὲ βάκχε.
θυρσεγχής, βαρύμηνι, τετιμένε πᾶσι θεοῖσι,

καὶ θνητοῖσι βροτοῖσιν, ὅσοι χθόνα ναιετάουσιν,
ἐλθὲ μάκαρ σκιρτητὰ, φέρων πολὺ γῆθος ἅπασι.

Λικνίτου θυμίαμα, μάνναν.

Λικνίτην διόνυσον ἐπ' εὐχαῖς ταῖς δὲ
κικλήσκω.
νύσιον, ἀμφιθαλῆ, πεποθημένον, ἄφρονα, βάκχον
νυμφῶν ἔρνος ἐραστὸν, ἐυστεφάνου τ' ἀφροδίτης·
ὅς ποτ' ἀνὰ δρυμοὺς κεχορευμένα βήματα πάλλες·
σὺν νύμφαις χαρίεσσιν ἐλαυνόμενος μανίῃσι·
καὶ βουλαῖσι διὸς πρὸς αὐτὴν φερσεφόνειαν.
ἀχθεὶς ἐξετράφης, φόβος ἀθανάτοισι θεοῖσιν·
ἄφρων ἐλθὲ μάκαρ, κεχαρισμένα δ' ἱερὰ δέξαι.

Περικιονίου θυμίαμα ἀρώματα.

Κικλήσκω βάκχον περικιόνιον, μεθυ=
δώτην.
καδμείοισι δόμοις, ὃς ἑλισσόμενος περὶ πάντα,
ἔστησε κρατερῶς, βρασμοὺς γαίης ἀποπέμψας.
ἡνίκα πυρφόρος αὐγὴ ἐκίνησε χθόνα πᾶσαν,
πρηστῆρος ῥοίζοις· ὁ δ' ἀνέσχεθε δεσμὸς ἁπάντων:
ἐλθὲ μάκαρ βακχευτὰ γεγηθυίαις πραπίδεσσι.

Σαβαζίου θυμίαμα, ἀρώματα.

Κλῦθι πάτερ κρόνου υἱὲ σαβάζιε, κύ=
διμε δαῖμον.
ὃς βάκχον διόνυσον, ἐρίβρομον, εἰραφιώτην·
μηρῷ ἐγκατέραψας, ὅπως τετελεσμένος ἔλθῃ
τμῶλον ἐς ἠγάθεον, παρ' ἵππαν καλλιπάρῃον.
ἀλλὰ μάκαρ φρυγίης μεδέων βασιλεύτατε πάντων·
εὐμενέων ἐπαρωγὸς ἐπέλθοις μυστιπόλοισιν.

Ἵππας θυμίαμα, στύρακα.

Ἵππαν κικλήσκω βάκχου τροφὸν, εὐάδα κούρην.

μυστιπόλον, τελεταῖσιν ἀγαλλομένην σάβου ἁγνοῦ.
νυκτερίοισι χοροῖσι, πυριβρεμέτοις ἰάχοισι·
κλῦθί μευ εὐχομένου χθονία μῆτερ βασίλεια.
ὗτε σύγ' ἐν φρυγίῃ κατέχεις ἴδης ὄρος ἁγνόν.
ἢ τμῶλος τέρπει σε καλὸν λυδοῖσι θόασμα.
ἔρχεο πρὸς τελετὰς ἱερῷ γήθουσα προσώπῳ.

Λυσίου ληναίου ὕμνος.

κ    λῦθι μάκαρ διὸς υἱ', ἐπιλήνιε, βάκχε
διμάτωρ.
σπέρμα πολύμνηστον, πολυώνυμε, λύσιε δαῖμον.
κρυψίγονον μακάρων ἱερὸν θάλος, εὔιε βάκχε.
εὐτραφῆ, εὔκαρπε, πολυγηθέα καρπὸν ἀέξων.
ῥηξίχθων, ληναῖε, μεγασθενὲς, αἰολόμορφε.
παυσίπονος θνητοῖσι φανεὶς ἄκος, ἱερὸν ἄνθος.
χάρμα βροτοῖς φιλάλυπον, ἐπάφιε, καλλιέθειρε.
λύσιε, θυρσομανῆ, βρόμιε, εὔιε, πᾶσιν ἐΰφρων.
οἷς ἐθέλεις θνητῶν ἠδ' ἀθανάτων ἐπιφαύσκων.
νῦν σε καλῶ μύσταισι μολεῖν, ἡδὺ, φερέκαρπον.

Νυμφῶν θυμίαμα, ἀρώματα.

ν    ύμφαι θυγατέρες μεγαλήτορος
ὠκεανοῖο.
ὑγροπόροις γαίης ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι.
κρυψίδρομοι, βάκχοιο τροφοὶ, χθόνιαι, πολυγηθεῖς.
καρποτρόφοι, λειμωνιάδες, σκολιόδρομοι, ἁγναί.
ἀντροχαρεῖς, σπήλυγξι κεχαρμέναι, ἠεροφοιτοι.
πηγαῖαι, δρομάδες, δροσοείμονες, ἴχνεσι κοῦφαι.
φαινόμεναι, ἀφανεῖς, αὐλωνιάδες, πολυανθεῖς.
σὺν πανὶ σκιρτῶσαι ἀν' οὔρεα, εὐάστειραι.
πετρόρυτοι, λιγυραὶ, κερωνίτιδες, ὑλονόμοιτε.
παρθένοι εὐώδεις, λευχείμονες, εὔπνοοι αὔραις.

αἰπολικαὶ, νόμιαι, θηρσὶν φίλαι, ἀγλαόκαρποι.
κρυμοχαρεῖς, ἁπαλαὶ, πολυθρέμμονες, αὐξιτροφοῖτε
κοῦραι ἁμαδρυάδες, φιλοπαίγμονες, ὑγροκέλευθοι.
νύσιαι, μανικαὶ, παιονίδες, ἐαροτερπεῖς.
σὺν βάκχῳ δηοῖτε, χάριν θνητοῖσι φέρουσαι.
ἔλθετ' ἐπ' εὐφήμοις ἱεροῖς κεχαρηότι θυμῷ·
νᾶμα χέουσ' ὑγιεινὸν αὐξιτρόφοισιν ἐν ὥραις.

Τριετηρικοῦ θυμίαμα, ἀρώματα.

Κικλήσκω σε μάκαρ, πολυώνυμε, μανικὲ
βακχεῦ.
ταυρόκερως, ληναῖε, πυρίσπορε νύσιε, λυσεῦ.
μηροτρεφὴς, λικνῖτα, πυριπόλε, καὶ τελετάρχα.
νυκτίε, εὐβουλεῦ, μιτρηφόρε, θυρσοτινάκτα.
ὄργιον, ἄρρητον, τριφυὲς, κρύφιον διὸς ἔρνος.
πρωτογόν' ἠρικεπαῖε, θεῶν πάτερ, ἠδὲ καὶ υἱέ.
ὠμάδιε, σκηπτοῦχε, χοροιμανὲς, ἀγέτα κώμων.
βακχεύων ἁγίας τριετηρίδας ἀμφὶ γαληνάς.
ῥηξίχθων, πυριφεγγὲς, ἐπάφιε κοῦρε διμάτωρ.
οὐρεσιφοῖτα ἔρως, νεβριδόστολε, ἀμφιέτηρε.
παιὰν, χρυσεγχὴς, ὑποκόλπιε, βοτρυόκοσμε.
βάσσαρε, κισσοχαρὴς, πολυπάρθενε, καὶ διάκοσμε.
ἐλθὲ μάκαρ μύσταισι βρύων κεχαρημένος αἰεί.

Ἀμφιετοῦς θυμίαμα, πάντα
πλὴν λιβάνου.

Ἀμφιετῆ καλέω βάκχον, χθόνιον
διόνυσον.
ἐγρόμενον κούραις ἅμα νύμφαις εὐπλοκάμοισι.
ὃς παρὰ περσεφόνης ἱεροῖσι δόμοισιν ἰαύων,
κοιμίζει τριετῆρα χρόνον, βακχήιον ἁγνόν.
αὐτὸς δ' ἡνίκα τὴν τριετῆ πάλι κῶμον ἐγείροις,

εἰς ὕμνους τρέπεται σὺν ἐυζώνοισι τιθήναις.
ἀάζων κινῶντε χορὸς ἐν κυκλάσιν ὥραις.
ἀλλὰ μάκαρ χλοόκαρπε, κερασφόρε, κάρπιμε βάκχε
βαῖν' ἐπὶ πάνθειον τελετὴν γανόωντι προσώπῳ.
ἱεροῖς καρποῖσι τελεσσιγόνοισι βρυάζων.

Σειληνοῦ, σατύρου, βακχῶν, θυμίαμα, μάνναν.

κ λῦθί μευ ὦ πολύσεμνε τροφεῦ βάκχοιο τιθηνέ.
σιληνῶν ὄχ' ἄριστε, τετιμένε πᾶσι θεοῖσι.
καὶ θνητοῖσι βροτοῖσιν, ἐπὶ τριετηρίσιν ὥραις.
ἁγνοτελής, γεραρός, θιάσου νομίου τελετάρχα
εὐαστὴς, φιλάγρυπνε, νεάζων οἷσι σιληνοῖς.
ναΐσι καὶ βάκχαις ἡγούμενε κισσοφόροισιν.
δεῦρ' ἐπὶ πάνθειον τελετὴν σατύροις ἅμα πᾶσι
θηροτύποις, εὔασμα διδοὺς βακχεῖον ἄνακτος.
σὺν βάκχαις λήναια, τελεσφόρα, σεμνὰ προπέμπων
ὄργια νυκτιφαῆ τελεταῖς ἁγίαις ἀναφαίνων.
ἀάζων φιλόθυρσε, γαληνιόων θιάσοισιν.

Εἰς ἀφροδίτην ὕμνος.

ο ὐρανία πολύυμνε φιλομμειδὴς ἀφροδίτη.
ποντογενής, γενέτειρα θεά, φιλοπάννυχε σεμνή.
νυκτερία, ζεύκτειρα, δολοπλόκε, μῆτερ ἀνάγκης.
πάντα γὰρ ἐκ σέθεν ἐστὶν, ὑπεζεύξαο δὲ κόσμον,
καὶ κρατέεις τρισσῶν μοιρῶν, γεννᾷς δὲ τὰ πάντα.
ὅσσα τ' ἐν οὐρανῷ ἐστὶ καὶ ἐν γαίῃ πολυκάρπῳ.
ἐν πόντου τε βυθῷ τε, σεμνὴ βάκχοιο πάρεδρε.
τερπομένη θαλίαισι, γαμοστόλε, μῆτερ ἐρώτων.
πειθοῖ, λεκτροχαρὴς, κρυφία, χαριδῶτι.
φαινομένη, τ' ἀφανὴς, ἐρατοπλόκαμ', εὐπατέρεια.

νυμφιδία σύνθακε θεῶν, σκηπτοῦχε λύκαινα.
γεννοδότειρα, φίλανδρε, ποθεινοτάτη βιοδῶτι.
ἡ ζεύξασα βροτοὺς ἀχαλινώτοισιν ἀνάγκαις.
καὶ θηρῶν πολὺ φῦλον ἐρωτομανῶν ἀπὸ φίλτρων.
ἔρχεο κυπρογενὲς θεῖον γένος, εἴτ' ἐν ὀλύμπῳ
εἶ σὺ θεὰ βασίλεια, καλῷ γήθουσα προσώπῳ.
εἴτε καὶ εὐλιβάνου συρίης ἕδος ἀμφιπολεύεις.
εἴτε σύγ' ἐν πεδίοισι σὺν ἅρμασι χρυσεοτεύκτοις.
αἰγύπτου κατέχεις ἱερῆς γονιμώδεα λουτρά.
ἢ καὶ κυκνείοις ὄχοις ἐπὶ πόντιον οἶδμα
ἐρχομένη χαίροις κητῶν κυκλίαισι χορείαις.
ἢ νύμφαις τέρπῃ κυανώπισιν ἐν χθονὶ δίᾳ,
θῖνας ἐπ' αἰγιαλοῖς ψαμμώδεσιν ἅρματι κούφῳ.
εἴτ' ἐν κύπρῳ ἄνασσα τροφῷ σέο, ἔνθα καλαί σε
παρθένοι ἄδμηται νύμφαι τ' ἀνὰ πάντ' ἐνιαυτὸν
ὑμνοῦσι σε μάκαιρα, καὶ ἄμβροτον ἁγνὸν ἄδωνιν.
ἐλθὲ μάκαιρα θεὰ καλ' ἐπήρατον εἶδος ἔχουσα.
ψυχῇ γάρ σε καλῶ σεμνῇ, ἁγίοισι λόγοισιν.

Ἀδώνιδος θυμίαμα, ἀρώματα.

κ λῦθί μου εὐχομένου πολυώνυμε δαῖμον ἄριστε.
ἁβροκόμη, φιλέρημε, βρύων ᾠδαῖσι ποθειναῖς.
εὔβουλε, πολύμορφε, τροφὴ πάντων ἀρίδηλε.
κούρη, καὶ κόρε, σὺ πᾶσιν θάλος αἰὲν ἄδωνι.
σβεννύμενε, λάμπωντε, καλαῖς ἐν κυκλάσιν ὥραις.
αὐξιθαλὴς, δίκερως, πολυήρατε, δακρυότιμε.
ἀγλαόμορφε, κυναγεσίοις χαίρων, βαθυχαῖτα.
ἱμερόνους, κύπριδος γλυκερὸν θάλος, ἔρνος ἔρωτος.
φερσεφόνης ἐρασιπλοκάμου λέκτροισι λοχευθείς.
ὃς ποτὲ μὲν ναίεις ὑπὸ τάρταρον ἠερόεντα,

ἠδ' αὖ πάλιν πρὸς ὄλυμπον ἄγεις δέμας ὡριόκαρπον.
ἐλθὲ μάκαρ μύσταισι φέρων καρποὺς ἀπὸ γαίης.

Ἑρμοῦ χθονίου θυμίαμα, στύρακα.

[illegible] κωκυτοῦ ναίων ἀνυπόστροφον οἶμον
ἀνάγκης.
ὃς ψυχὰς θνητῶν κατάγεις ὑπὸ νέρτερα γαίης.
ἑρμῆ βακχεχόροιο διωνύσοιο γένεθλον,
καὶ παφίης κούρης ἑλικοβλεφάρου ἀφροδίτης.
ὃς παρὰ περσεφόνης ἱερὸν δόμον ἀμφιπολεύεις.
αἰνομόροις ψυχαῖς πομπὸς κατὰ γαῖαν ὑπάρχων,
ἃς κατάγεις, ὁπόταν μοίρης χρόνος εἰσαφίκηται.
εὐιέρῳ ῥάβδῳ θέλγων ὑπνοδότου ἅπαντα·
καὶ πάλιν ὑπνώοντας ἐγείρεις· σοὶ γὰρ ἔδωκε
τιμὴν φερσεφόνεια θεὰ κατὰ τάρταρον εὐρύν.
ψυχαῖς ἀενάοις θνητῶν ὁδὸν ἡγεμονεύειν
ἀλλὰ μάκαρ πέμποις μύσταις τέλος ἐσθλὸν ἐπ' ἔργοις.

Ἔρωτος θυμίαμα, ἀρώματα.

κ κικλήσκω μέγαν, ἁγνὸν, ἐράσμιον, ἡδὺν
ἔρωτα.
τοξαλκῆ, πτερόεντα, πυρίδρομον, εὔδρομον ὁρμῇ.
συμπαίζοντα θεοῖς, ἠδὲ θνητοῖς ἀνθρώποις.
εὐπάλαμον, διφυῆ, πάντων κληῖδας ἔχοντα.
αἰθέρος, οὐρανίου, πόντου, χθονὸς, ἠδ' ὅσα θνητοῖς
πνεύματα παντογένεθλα θεὰ βόσκει χλοόκαρπος,
ἠδ' ὅσα τάρταρος εὐρὺς ἔχει, πόντος θ' ἁλίδουπος.
μοῦνος γὰρ τούτων πάντων οἴηκα κρατύνεις.
ἀλλὰ μάκαρ, καθαραῖς γνώμαις μύσταισι συνέρχου.
φαύλους δ', ἐκτοπίους θ' ὁρμὰς ἀπὸ τῶνδ' ἀπόπεμπε.

Μοιρῶν θυμίαμα, ἀρώματα.

μ μοῖραι ἀπειρέσιοι, νυκτὸς φίλα τέκνα μελαίνης.

κλῦτέ μευ εὐχομένου πολυώνυμοι αἵτ' ἐπὶ λίμνης
οὐρανίας, ἵνα λευκὸν ὕδωρ νυχίας ὑπὸ θερμῆς
ῥήγνυται, ἐν σκιερῷ λιπαρῷ μυχῷ εὐλίθου ἄντρου
ναίουσαι, πεπότησθε βροτῶν ἐπ' ἀπείρονα γαῖαν.
ἔνθεν ἐπὶ βρότεον δόκιμον γένος ἐλπίδι κοῦφον
στείχετε, πορφυρέαισι καλυψάμεναι ὀθόνῃσι.
μορσίμων ἐν πεδίῳ, ὅθι πάγγεον ἅρμα διώκει
δόξα, δίκης παρὰ τέρμα, καὶ ἐλπίδος, ἠδὲ μεριμνῶν.
καὶ νόμου ὠγυγίου καὶ ἀπείρονος εὐνόμου ἀρχῆς.
μοῖρα γὰρ ἐν βιότῳ καθορᾷ μόνον, οὐδέτις ἄλλος
ἀθανάτων οἳ ἔχουσι κάρη νιφόεντος ὀλύμπου.
καὶ διὸς ὄμμα τέλειον, ἐπεί γ' ὅσα γίγνεται ἡμῖν,
μοῖρά τε, καὶ διὸς οἶδε νόος διαπαντὸς ἅπαντα,
ἀλλά μοι νυκτέριοι, μαλακόφρονες, ἠπιόθυμοι,
ἄτροπε, καὶ λάχεσι, κλωθώ, μόλετ', εὐπατέρειαι.
ἀέριοι, ἀφανεῖς, ἀμετάτροποι, αἰὲν ἀτειρεῖς.
παντοδότειραι, ἀφαιρέτιδες θνητοῖσιν ἀνάγκη.
μοῖραι ἀκούσατ' ἐμῶν ὁσίων, λοιβῶν τε, καὶ εὐχῶν.
ἐρχόμεναι μύσταις λυσιπήμονες εὔφρονι βουλῇ.
μοιράων τέλος ἔλλαβεν ᾠδή, ἣν ὕφαν' ὀρφεύς.

Χαρίτων θυμίαμα,

στύρακα.

κ λῦτέ μοι ὦ χάριτες μεγαλώνυμοι,
ἀγλαότιμοι·
θυγατέρες ζηνός τε, καὶ εὐνομίης βαθυκόλπου.
ἀγλαΐη τε, θάλεια, καὶ εὐφροσύνη πολύολβε.
χαρμοσύνης γενέτειραι, ἐράσμιαι, εὐφρόσυν' ἁγναί.
αἰολόμορφοι, ἀειθαλέες, θνητοῖσι ποθειναί.
εὐκταῖαι, κυκλάδες, καλυκώπιδες, ἱμερόεσσαι.
ἔλθοιτ' ὀλβοδότειραι, ἀεὶ μύσταισι προσηνεῖς.

Νεμέσεως ὕμνος.

Ὦ νέμεσι, κλήζω σε θεὰ βασίλεια
μεγίστη.
πανδερκὴς ἐσορῶσα βίον θνητῶν πολυφύλων.
ἀϊδία, πολύσεμνε, μόνη χαίρουσα δικαίοις.
ἀμείβουσα λόγον πολυποίκιλον, ἄστατον αἰεί.
ὃν πάντες δεδίασι βροτοὶ, ζυγὸν αὐχένι θέντες.
σοὶ γὰρ ἀεὶ γνώμη πάντων μέλει, οὐδέ σε λήθει
ψυχὴ ὑπερφρονέουσα λόγων ἀδιακρίτῳ ὁρμῇ.
πάντ' ἐσορᾷς καὶ πάντ' ἐπακούεις καὶ πάντα βραβεύεις,
ἐν σοὶ δ' εἰσὶ δίκαι θνητῶν πανυπέρτατε δαῖμον.
ἐλθὲ μάκαιρ' ἁγνὴ μύσταις ἐπιτάρροθος αἰεί.
δὸς δ' ἀγαθὴν διάνοιαν ἔχειν, παύουσα πανεχθεῖς
γνώμας, οὐχ ὁσίας, πανυπέρφρονας, ἀγηνοροτάτας.

Δίκης θυμίαμα, λίβανον.

Ὄμμα δίκης μέλπω πανδερκέος
ἀγλαομόρφου.
ἣ καὶ ζηνὸς ἄνακτος ἐπὶ θρόνον ἱερὸν ἵζει.
οὐρανόθεν καθορῶσα βίον θνητῶν πολυφύλων.
τοῖς ἀδίκοις τιμωρὸς ἐπιβρίθουσα δίκαια.
ἐξ ἰσότητος ἀληθείας συνάγουσ' ἀνόμοια.
πάντα γὰρ ὅσα κακαῖς γνώμαις θνητοῖσιν ὀχεῖται,
δύσκριτα βουλομένοις πλεῖον βουλαῖς ἀδίκοισι,
μούνη ἐπεμβαίνουσα δίκην ἀδίκοις ἐπεγείρεις.
ἐχθρὰ τῶν ἀδίκων, εὔφρων δὲ σύνεσσι δικαίοις.
ἀλλὰ θεὰ μόλ' ἐπὶ γνώμαις ἐσθλαῖσι δικαία.
ὡς ἂν ἀεὶ βιοτῆς τὸ πεπρωμένον ἦμαρ ἐπέλθοι.

Δικαιοσύνης θυμίαμα, λίβανον.

Ὦ θνητοῖσι δικαιοτάτη πολύολβε
ποθεινή.

ἐξ ἰσότητος

ἐξ ἰσότητος ἀεὶ θνητοῖς χαίρουσα δικαίοις.
πάντιμε, ὀλβιόμοιρε, δικαιοσύνη μεγαλαυχής.
ἣ καθαραῖς γνώμαις αἰεὶ τὰ δέοντα βραβεύεις.
ἄθραυστος τὸ συνειδὸς, ἀεὶ θραύεις γὰρ ἅπαντας
ὅσοι μὴ τὸ σὸν ἦλθον ὑπὸ ζυγὸν, ἀλλ' ὑπὲρ αὐτοῦ
πλάστιγξι βριαραῖσι παρεγκλίναντες ἀπλήστως.
ἀστασίαστε, φίλη πάντων, φιλόκωμ', ἐρατεινή.
εἰρήνῃ χαίρουσα, βίον ζηλοῦσα βέβαιον,
αἰεὶ γὰρ τὸ πλέον στυγέεις, ἰσότητι δὲ χαίρεις.
ἐν σοὶ γὰρ σοφίης ἀρετῆς τέλος ὄλλον ἱκάνει.
κλῦθι θεὰ, κακίην θνητῶν θραύουσα δικαίως.
ὡς ἂν ἰσορροπίαισιν ἀεὶ βίος ἐσθλὸς ὁδεύοι,
θνητῶν ἀνθρώπων, οἳ ἀρούρης καρπὸν ἔδουσι
καὶ ζώων πάντων, ὁπόσ' ἐν κόλποισι τιθηνεῖ.
γαῖα θεὰ μήτηρ, καὶ πόντιος εἰνάλιος ζεύς.

Υμνος νόμου.

Α θανάτων καλέω καὶ θνητῶν ἁγνὸν
ἄνακτα.
οὐράνιον νόμον ἀστροθέτην, σφραγῖδα δικαίαν.
πόντου τ' εἰναλίου, καὶ γῆς, φύσεως τὸ βέβαιον.
ἀκλινῆ, ἀστασίαστον, ἀεὶ τηροῦντα νόμοισιν.
οἷσιν ἄνωθε φέρων μέγαν οὐρανὸν αὐτὸς ὁδεύει.
καὶ φθόνον οὐ δίκαιον ῥοίζου τρόπον αὐτὸς ἐλαύνει.
ὃς καὶ θνητοῖσιν βιοτῆς τέλος ἐσθλὸν ἐγείρει.
αὐτὸς γὰρ μοῦνος ζώων οἴακα κρατύνει.
γνώμαις ὀρθοτάταισι συνὼν ἀδιάστροφος αἰεί.
ὠγύγιος, πολύπειρος, ἀβλάπτως πᾶσι συνοικῶν
τοῖς νομίμοις, ἀνόμοις δὲ φέρων κακότητα βαρεῖαν.
ἀλλὰ μάκαρ πάντιμε, φερόλβιε πᾶσι ποθεινέ.
εὐμενὲς ἦτορ ἔχων μνήμην σέο πέμπε φέριστε.

Ἄρεος θυμίαμα, λίβανον.

Ἄρρηκτ' ὀβριμόθυμε, μεγασθενὲς, ἄλκιμε δαῖμον.
ὁπλοχαρὴς, ἀδάμαστε, βροτοκτόνε, τειχεσιπλῆτα
ἄρες ἄναξ, δολόδουπε, φόνοις πεπαλαγμένος αἰεὶ
αἵματι ἀνδροφόνῳ χαίρων, πολεμόκλονε φρικτέ.
ὃς ποθέεις ξίφεσίν τε, καὶ ἔγχεσι δῆριν ἄμουσον.
στῆσον ἔριν λυσσῶσαν, ἄνες πόνον ἀλγεσίθυμον.
εἰς δὲ πόθον νεῦσον κύπριδος, κώμους τε λυαίου.
ἀλλάξας ἀλκὴν ὅπλων, εἰς ἔργα τὰ δηοῦς.
εἰρήνην ποθέων κουροτρόφον, ὀλβιοδῶτιν.

Ἡφαίστου θυμίαμα, λιβανομάνναν.

Ἥφαιστ' ὀβριμόθυμε, μεγασθενὲς, ἀκάματον πῦρ,
λαμπόμενε φλογέαις αὔραις, φαεσίμβροτε δαῖμον.
φωσφόρε, κρατερόχειρ, αἰώνιε, τεχνοδίαιτε.
ἐργαστὴρ, κόσμοιο μέρος, στοιχεῖον ἀμεμφές.
παμφάγε, πανδαμάτωρ, πανυπέρτατε, παντοδίαιτε.
αἰθὴρ, ἥλιος, ἄστρα, σελήνη, φῶς ἀμίαντον.
ταῦτα γὰρ ἡφαίστοιο μέλη θνητοῖσι προφαίνει.
πάντα δὲ οἶκον ἔχεις, πᾶσαν πόλιν, ἔθνεα πάντα
σώματά τε θνητῶν οἰκεῖς πολύολβε, κραταιέ.
κλῦθι μάκαρ, κλήζω πρὸς εὐιέρους ἐπὶ λοιβάς.
αἰεὶ ὅπως χαίρουσιν ἐπ' ἔργοις ἤμερος ἔλθοις.
παῦσον λυσσῶσαν μανίαν πυρὸς ἀκαμάτοιο.
καῦσιν ἔχων φύσεως ἐν σώμασιν ἡμετέροισιν.

Ἀσκληπιοῦ θυμίαμα, μάνναν.

Ἰητὴρ πάντων ἀσκληπιὲ, δέσποτα παιάν.
θέλγων ἀνθρώπων πολυαλγέα πήματα νούσων.
ἠπιόδωρε κραταιὲ μόλοις κατάγων καὶ ὑγείαν.

καὶ παύων νούσων χαλεπὰς κῆρας θανάτοιο.
αὐξιθαλὴς, κόρε, ἀπαλεξίκακ', ὀλβιόμοιρε.
φοίβου ἀπόλλωνος κρατερὸν θάλος ἀγλαότιμον.
ἐχθρὲ νόσων, ὑγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ.
ἐλθὲ μάκαρ σωτὴρ, βιοτῆς τέλος ἐσθλὸν ὀπάζων.

Υγείας θυμίαμα, μάνναν.

ι μερόεσσ', ἐρατὴ, πολυθάλμιε παμβασίλεια.
κλῦθι μάκαιρ' ὑγίεια, φερόλβιε, μῆτερ ἁπάντων.
ἐκ σέο γὰρ νοῦσοι μὲν ἀποφθινύθουσι βροτοῖσι.
πᾶς δὲ δόμος θάλλει πολυγηθὴς εἵνεκα σεῖο.
καὶ τέχναι βρίθουσι, ποθεῖ δέ σε κόσμος ἄνασσα.
μοῦνος δὲ στυγέει σ' ἀΐδης ψυχοφθόρος αἰεί.
ἀειθαλὴς, εὐκταιοτάτη, θνητῶν ἀνάπαυμα.
σοῦ γὰρ ἄτερ, πάντ' ἐστὶν ἀνωφελῆ ἀνθρώποισιν.
οὔτε γὰρ ὀλβοδότης πλοῦτος γλυκερὸς θαλίῃσιν,
οὔτε γέρων πολύμοχθος ἄτερ σέο γίνεται ἀνήρ.
πάντων γὰρ κρατέεις μούνη, καὶ πᾶσιν ἀνάσσεις.
ἀλλὰ θεὰ μόλε μυστιπόλοις, ἐπιτάρροθος αἰεί.
ῥυομένη νούσων χαλεπῶν, κακόποτμον ἀνίην.

Εὐμενίδων θυμίαμα, ἀρώματα.

κ λῦτε θεαὶ πάντιμοι, ἐρίβρομοι εὐάστειραι.
τισιφόνη τε, καὶ ἀλληκτὼ, καὶ δῖα μέγαιρα.
νυκτέριαι, μύχιαι, ὑπὸ κεύθεσιν οἰκί' ἔχουσαι.
ἄντρῳ ἐν ἠερόεντι παρὰ στυγὸς ἱερὸν ὕδωρ.
οὐχ ὁσίαις βουλαῖσι βροτῶν πεποτημέναι αἰεί.
λυσσήρεις, ἀγέρωχοι, ἐπαυάζουσαι ἀνάγκαις.
θηρόπεπλοι, τιμωροὶ, ἐρισθενέες, βαρυαλγεῖς.
ἀΐδεω χθόνιαι, φοβεραὶ κόραι αἰολόμορφοι.

ἠέριαι, ἀφανεῖς, ὠκύδρομοι τ', ὅστε νόημα.
οὔτε γὰρ ἠελίου ταχιναὶ φλόγες, οὔτε σελήνης,
καὶ σοφίας ἀρετῆς τε, καὶ ἐργασίμου θρασύτητος,
οὐ χάρις, οὔτε βίου λιπαρᾶς περικαλλέος ἥβης,
ὑμῶν χωρὶς ἐγείρει ἀφροσύνας βιότοιο.
ἀλλ' αἰεὶ θνητῶν πάντων ἐπ' ἀπείρονα φῦλα,
ὄμμα δίκης ἐφορᾶτε δικασπόλοι αἰὲν ἐοῦσαι.
ἀλλὰ θεαὶ μοῖραι, ὀφιοπλόκαμοι, πολύμορφοι,
πραΰνοον μετάθεσθε βίου μαλακόφρονα δόξαν.

Εὐμενίδων θυμίαμα ἀρώματα.

κ λῦτέ μου Εὐμενίδες μεγαλώνυμοι εὔφρονι βουλῇ.
ἁγναὶ θυγατέρες μεγάλοιο Διὸς χθονίοιο.
Φερσεφόνης τ' ἐρατῆς κούρης καλλιπλοκάμοιο.
ἣ πάντων καθορᾶ βίον θνητῶν ἀσεβούντων.
τῶν ἀδίκων τιμωροὶ ἐφεστηκυῖαι ἀνάγκῃ.
κυανόχρωτοι ἄνασσαι ἀπαστράπτουσαι ἀπ' ὄσσων,
δεινὴν αὐταυγῆ φάος σαρκοφθόρον αἴγλην.
ἀΐδιοι φοβερῶπες ἀπόστροφοι αὐτοκράτειραι.
λυσιμελεῖς οἴστρῳ βλοσυρονύχιαι πολύποτμοι.
νυκτέριαι κοῦραι ὀφιοπλόκαμοι φοβερῶπες.
ὑμᾶς κικλήσκω γνώμαις ὁσίαισι πελάζειν.

Μηλινόης θυμίαμα ἀρώματα.

μ ηλινόην καλέω νύμφην χθονίαν κροκόπεπλον.
ἣν παρὰ κωκυτοῦ προχοαῖς ἐλοχεύσατο σεμνή.
Φερσεφόνη, λέκτροις ἱεροῖς ζηνὸς κρονίοιο.
ἣ ψευσθεὶς πλούτων ἐμίγη δολίαις ἀπάταις.
θυμῷ Φερσεφόνης δὲ δισώματον ἔσπασε χροιήν.
ἣ θνητοὺς μαίνει φαντάσμασιν ἠερίοισιν.

ἀμεροπόις ἰδέαις μορφῆς τύπον ἐκπροφαίνουσα.
ἄλλοτε μὲν προφανὴς ποτὲ δὲ σκοτόεσσα νυχαυγής.
ἀνταίαις ἐφόδοισι κατὰ ζοφοειδέα νύκτα.
ἀλλὰ θεὰ λίτομαί σε καταχθονίων βασίλεια.
ψυχῆς ἐκπέμπειν οἶστρον ἐπὶ τέρματα γαίης.
εὐμενὲς εὔιον μύσταις φαίνουσα πρόσωπον.

Τύχης θυμίαμα, λίβανον.

δ ῦρο τύχη, καλέω σ' ἀγαθὴν κράντειραν
ἐπ' εὐχαῖς.
μειλιχίαν ἐνοδῖτιν ἐπ' εὐόλβοις κτεάτεσσιν.
ἄρτεμιν ἡγεμόνην, μεγαλώνυμον, εὐβουλῆος.
αἵματος ἐκγεγαῶσαν, ἀπρόσμαχον εὖχος ἔχουσαν
τυμβιδίαν, πολύπλαγκτον, ἀοίδιμον ἀνθρώποισιν
ἐν σοὶ γὰρ βίοτος θνητῶν παμποίκιλός ἐστιν.
οἷς μὲν γὰρ τεύχεις κτεάνων πλῆθος πολύολβον.
οἷς δὲ κακὴν πενίην θυμῷ χόλον ὁρμαίνουσα.
ἀλλὰ θεά, λίτομαί σε μολεῖν βίῳ εὐμενέουσαν.
ὄλβοισιν πλήθουσαν ἐπ' εὐόλβοις κτεάτεσσιν.

Δαίμονος θυμίαμα, λίβανον.

δ αίμονα κικλήσκω μεγαλανηγήτορα
φρικτόν.
μειλίχιον δία, παγγενέτην, βιοδώτορα θνητῶν.
ζῆνα μέγαν πολύπλαγκτον, ἀλάστορα παμβασιλῆα
πλουτοδότην, ὁπόταν γε βρυάζων οἶκον ἐσέλθῃ.
ἔμπαλι δὲ ψύχοντα βίον θνητῶν πολυμόχθων.
ἐν σοὶ γὰρ λύπης τε χαρᾶς κληῖδες ὀχοῦνται.
τοιγάρτοι μάκαρ ἁγνὲ πολύστονα κήδε' ἐλάσας,
ὅσα βιοφθορίην πέμπει κατὰ γαῖαν ἅπασαν,
ἔνδοξον βιοτῆς γλυκερὸν τέλος ἐσθλὸν ὀπάζοις.

Λευκοθέας θυμίαμα, ἀρώματα.

Λ ευκοθέαν καλέω καδμηΐδα δαίμονα σεμνήν.
εὐδυνάταν, θρέπτειραν, ἐϋστεφάνου διονύσου.
κλῦθι θεὰ πόντοιο βαθυστέρνου μεδέουσα.
κύμασι τερπομένη θνητῶν σώτειρα μεγίστη.
ἐν σοὶ γὰρ νηῶν πελαγοδρόμος ἄστατος ὁρμή.
μούνη δὲ θνητῶν οἰκτρὸν μόρον εἰν ἁλὶ λύεις.
οἷς ἂν ἐφορμαίνουσα φίλη σωτήριος ἔλθοις.
ἀλλὰ θεὰ δέσποινα, μόλοις ἐπαρωγὸς ἐοῦσα,
νηυσὶν ἐπ' εὐσέλμοις σωτήριος εὔφρονι βουλῇ.
μύσταις ἐν πόντῳ ναυσίδρομον οὖρον ἄγουσα.

Παλαίμονος θυμίαμα, μάνναν.

Σ ύντροφε βάκχου χοροῖο διονύσου πολυγηθοῦς.
ὃς ναίεις πόντοιο βυθοὺς βαθυκύμονας ἁγνούς.
κικλήσκω σε παλαῖμον ἐπ' εὐιέροις τελεταῖσιν.
ἐλθεῖν εὐμενέοντα, νέῳ γήθοντα προσώπῳ.
καὶ σώζειν μύστας κατά τε χθόνα καὶ κατὰ πόντον.
ποντοπλάνοις γὰρ ἀεὶ ναυσὶν χειμῶνος ἐναργής.
φαινόμενος σωτὴρ, μοῦνος θνητοῖς ἀναφαίνῃ.
ῥυόμενος μῆνιν χαλεπὴν κατὰ πόντιον οἶδμα.

Μουσῶν θυμίαμα, λίβανον.

Μ νημοσύνης καὶ ζηνὸς ἐριγδούποιο θύγατρες.
μοῦσαι πιερίδες μεγαλώνυμοι, ἀγλαόφημοι.
θνητοῖς οἷς κε παρῆτε ποθεινόταται πολύμορφοι.
πάσης παιδείης ἀρετὴν γεννῶσαι ἄμεμπτον.
θρέπτειραι ψυχῆς, διανοίας ὀρθοδότειραι.
καὶ τοῦ εὐδυνάτοιο καθηγήτειραι ἄνασσαι.

αἳ τελετὰς θνητοῖς ἀνεδείξατε μυστιπολεύτους·
κλειώτ', εὐτέρπητε, θάλειά τε, μελπομένη τε,
τερψιχόρη τ', ἐρατώ τε, πολύμνιά τ', οὐρανίη τε,
καλλιόπη σὺν μητρί, καὶ εὐδυνάτη θεᾶ ἁγναί.
ἀλλὰ μόλοιτε θεαὶ μύσταις πολυποίκιλοι ἁγναί.
εὔκλειαν ζῆλόν τ' ἐρατὸν πολύυμνον ἄγουσαι.

Μνημοσύνης θυμίαμα, λίβανον.

Μνημοσύνην καλέω ζηνὸς σύλλεκτρον ἄνασσαν.
ἣ μούσας τέκνωσ' ἱερὰς ὁσίας λιγυφώνους·
ἐκτὸς ἐοῦσα κακῆς μνήμης βλαψίφρονος αἰεί.
πάντα νόον συνέχουσα βροτῶν ψυχαῖσι συνοίκον·
εὐδυνάτων κρατερὸν, θνητῶν αὔξουσα λογισμόν.
ἡδυτάτη, φιλάγρυπνος, ὑπομνήσκουσα δὲ πάντα,
ὧν ἂν ἕκαστος ἀεὶ στέρνοις γνώμην κατάθηται.
οὔτι παρεκβαίνουσ', ἐπεγείρουσα φρένα πᾶσιν.
ἀλλὰ μάκαιρα θεὰ μύσταις μνήμην ἐπέγειρε,
εὐΐερου τελετῆς, λήθην δ' ἀπὸ τῶν ἀπόπεμπε.

Ἠοῦς θυμίαμα, μάνναν.

Κλῦθι θεὰ θνητοῖς φαεσίμβροτον ἦμαρ ἄγουσα.
ἠὼς λαμπροφαὴς ἐρυθαινομένη κατὰ κόσμον.
ἀγγελίεια θεοῦ τιτᾶνος ἀγαυοῦ μεγάλοιο.
ἣ νυκτὸς ζοφερήν τε κελαινόχρωτα πορείην·
ἀντολίαις ταῖς σαῖς πέμπεις ὑπὸ νέρτερα γαίης.
ἔργων ἡγήτειρα βίου, πρόπολε θνητοῖσιν.
ᾗ χαίρει θνητῶν μερόπων γένος, οὐδέτις ἐστὶν,
ὃς φεύγει τὴν σὴν ὄψιν καθυπέρτερον οὖσαν.
ἡνίκα τὸν γλυκὺν ὕπνον ἀπὸ βλεφάρων ἀποσείσης·
πᾶς δὲ βροτὸς γήθει, πᾶν ἑρπετὸν, ἄλλα τε φῦλα.

τετραπόδων πτηνῶν τε καὶ ἐναλίων πολυθρέμμων.
πάντα γὰρ ἐργάσιμον βίον θνητοῖσι πορίζεις.
ἀλλὰ μάκαιρ᾽ ἁγνὴ, μύσταις ἱερὸν φάος αὔξοις.

Θέμιδος θυμίαμα, λίβανον.

δ. υρανόπαιδ᾽ ἁγνὴν καλέω θέμιν εὐπατέρειαν.
γαίης τὸ βλάστημα νέον καλυκώπιδα κούρην.
ἣ πρώτη κατέδειξε βροτοῖς μαντήιον ἁγνόν.
δελφικῷ ἐν κευθμῶνι θεμιστεύουσα θεοῖσι.
πυθίῳ ἐν δαπέδῳ. ὅθι πυθοῖ ἐμβασίλευεν.
ἣ καὶ φοῖβον ἄνακτα θεμιστοσύνας ἐδίδαξε.
πάντιμε, ἀγλαόμορφε, σεβάσμιε, νυκτιπόλευτε.
πρώτη γὰρ τελετὰς ἁγίας θνητοῖς ἀνέφηνας.
βακχιακὰς ἀνὰ νύκτας ἐπευάζουσα ἄνακτα.
ἐκ σέο γὰρ τιμαὶ μακάρων, μυστήριά θ᾽ ἁγνά.
ἀλλὰ μάκαιρ᾽ ἔλθοις κεχαρημένη εὔφρονι βουλῇ
εὐιέρους ἐπὶ μυστιπόλους τελετὰς σέο κούρη.

Βορέου θυμίαμα, λίβανον.

ειμερίοις αὔραισι δονῶν βαθὺν ἠέρα κόσμου.
κρυμοπαγὴς βορέα χιονώδεος ἔλθ᾽ ἀπὸ θρᾴκης.
λῦέ τε παννέφελον στάσιν ἠέρος ὑγροκελεύθου.
ῥιπίζων ἰκμάσιν νοτεραῖς ὀμβρηγενὲς ὕδωρ.
αἴθρια πάντα τιθεὶς, θαλερόμματον αἰθέρα τεύχων.

Ζεφύρου θυμίαμα, λίβανον.

υραι ποντογενεῖς, ζεφυρίτιδες, ἠεροφοῖται.
ἡδύπνοοι, ψιθυραὶ, καμάτου ἀνάπαυσιν ἔχουσαι.
εἰαριναὶ, λειμωνιάδες, πεποθημέναι ὅρμοις.
σύρουσαι ναυσὶ κουφηρὸν πόρον ἠέρα κοῦφον.

ἔλθοιτ' εὐμενέουσαι ἐπιπνείουσαι ἀμεμφεῖς.
ἠέριαι, ἀφανεῖς, κουφόπτεροι, ἀίμορφοι.

Νότου θυμίαμα, λίβανον.

λ αἰψηρὸν πήδημα δι' ἠέρος ὑγροπόρευτον.
ὠκείαις πτερύγεσσι δονούμενον ἔνθα καὶ ἔνθα.
ἔλθοις σὺν νεφέλαις νοτίαις, ὄμβροιο γενάρχα.
τοῦτο γὰρ ἐκ διός ἐστι σέθεν γέρας ἠερόφοιτον.
ὀμβροτόκους νεφέλας ἐξ ἠέρος εἰς χθόνα πέμπειν.
τοιγάρ τοι λιτόμεσθα μάκαρ ἱεροῖσι χαρέντα,
πέμπειν καρποτρόφους ὄμβρους ἐπὶ μητέρα γαῖαν.

Ὠκεανοῦ θυμίαμα, ἀρώματα.

ω κεανὸν καλέω πατέρ' ἄφθιτον αἰὲν ἐόντα.
ἀθανάτων τε θεῶν γένεσιν, θνητῶν τ' ἀνθρώπων.
ὃς περικυμαίνει γαίης περιτέρμονα κύκλον.
ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα.
καὶ χθόνιοι γαίης πηγόρρυτοι ἰκμάδες ἁγναὶ
κλῦθι μάκαρ πολύολβε, θεῶν ἅγνισμα μέγιστον.
τέρμα φίλον γαίης, ἀρχὴ πόλου, ὑγροκέλευθε.
ἔλθοις εὐμενέων μύσταις κεχαρισμένος αἰεί.

Ἑστίας θυμίαμα, ἀρώματα.

ε στία εὐδυνάτοιο κρόνου θύγατερ βασίλεια.
ἣ μέσον οἶκον ἔχεις πυρὸς ἀενάοιο μεγίστου.
τούσδε σὺ ἐν τελεταῖς ὁσίους μύστας ἀναδείξαις.
θεῖσα ἀειθαλέας πολυόλβους εὔφρονας ἁγνούς.
οἱ καὶ θεῶν μακάρων θνητῶν στήριγμα κραταιόν.
αἰ δίη, πολύμορφε, ποθεινοτάτη, χλοόμορφε.
μειδιόωσα μάκαιρα, τάδ' ἱερὰ δέξο προθύμως.

ὄλβον ἐπιπνείουσα, καὶ ἠπιόχειρον ὑγείαν.

### Ὕπνου θυμίαμα, μετὰ μήκωνος.

Ὕπνε ἄναξ μακάρων πάντων θνητῶν τ᾽ ἀνθρώπων
καὶ πάντων ζώων, ὁπόσα τρέφει εὐρεῖα χθών.
πάντων γὰρ κρατέεις μοῦνος, καὶ πᾶσι προσέρχῃ.
σώματα δεσμεύων ἐν ἀχαλκεύτοισι πέδησι.
λυσιμέριμνε κόπων ἡδεῖαν ἔχων ἀνάπαυσιν.
καὶ πάσης λύπης ἱερὸν παραμύθιον ἔρδων.
καὶ θανάτου μελέτην ἐπάγεις, ψυχὰς διασῴζων.
αὐτοκασίγνητος γὰρ ἔφυς λήθης θανάτου τε.
ἀλλὰ μάκαρ λίτομαί σε κεκραμένον ἡδὺν ἱκάνειν·
σώζοντ᾽ εὐμενέως μύστας θεοῖσιν ἐπ᾽ ἔργοις.

### Ὀνείρου θυμίαμα, ἀρώματα.

Κικλήσκω σε μάκαρ τανυσίπτερε οὖλε
ὄνειρε.
ἄγγελε μελλόντων, θνητοῖς χρησμῳδὲ μέγιστε.
ἡσυχίᾳ γὰρ ὕπνου γλυκεροῖσι σιγηλὸς ἐπελθὼν,
προσφωνῶν ψυχαῖς θνητῶν, νόον αὐτὸς ἐγείρεις.
καὶ γνώμας μακάρων αὐτὸς καθ᾽ ὕπνους ὑποπέμπεις
σιγῶν σιγώσαις ψυχαῖς μέλλοντα προφαίνων.
οἷσιν ἐπ᾽ εὐσεβίῃσι θεῶν, νόος ἐσθλὸς ὁδεύει.
ὡς ἂν ἀεὶ τὸ καλὸν μᾶλλον γνώμῃσι προληφθὲν,
τερπωλαῖς ὑπάγῃ βίον ἀνθρώπων προχαρέντων.
τῶν δὲ κακῶν ἀνάπαυλαν, ὅπως θεὸς αὐτὸς ἐνίσπῃ.
εὐχωλαῖς θυσίαις τε, χόλον λύσωσιν ἀνάκτων.
εὐσεβέσιν γὰρ ἀεὶ τὸ τέλος γλυκερώτερόν ἐστι.
τοῖς δὲ κακοῖς οὐδὲν φαίνει μέλλουσαν ἀνάγκην,
ὄψις ὀνειρήεσσα κακῶν ἐξάγγελος ἔργων.
ὄφρα ἂν εὕρονται λύσιν ἄλγεος ἐρχομένοιο.

ἀλλὰ μάκαρ λίτομαί σε θεῶν μηνύματα φράζειν.
ὡς ἂν ἀεὶ γνώμαις ὀρθαῖς κατὰ πάντα πελάζῃς.
μηδὲν ἐπ' ἀλλοκότοισι, κακῶν σημεῖα προφαίνων.

Θανάτε θυμίαμα, μάνναν.

κ λῦθί μου, ὃς πάντων θνητῶν οἴηκα κρατύνεις.
πᾶσι διδοὺς χρόνον ἁγνόν, ὅσων πόρρωθεν ὑπάρχεις
σὸς γὰρ ὕπνος ψυχὴν θραύει καὶ σώματος ὁλκόν.
ἡνίκ' ἂν ἐκλύσῃς φύσεως κεκρατημένα δεσμά.
τὸν μακρὸν ζώοισι φέρων αἰώνιον ὕπνον.
κοινὸς μὲν πάντων ἄδικος δ' ἐνίοισιν ὑπάρχων.
ἐν ταχυτῆτι βίου παύων νεοήλικας ἀκμάς.
ἐν σοὶ γὰρ μούνῳ πάντων τὸ κριθὲν τελεῦται.
οὔτε γὰρ εὐχαῖς σὸν πείθει μένος, οὔτε λιταῖσιν.
ἀλλὰ μάκαρ, μακροῖσι χρόνοις ζωῆς γε πελάζειν,
αἰτοῦμαι θυσίαις καὶ εὐχωλαῖς λιτανεύων.
ὡς ἂν ἔοι γέρας ἐσθλὸν ἐν ἀνθρώποισι τὸ γῆρας.

[illegible]

[illegible]

[illegible]

# ΠΡΟΚΛΟΥ ΛΙΚΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

## Ὕμνοι.

### Εἰς τὸν ἥλιον.

λῦθι πυρὸς νοεροῦ βασιλεῦ χρυ-
κ σήνιε τιτάν.
κλῦθι φάους ταμία, ζωαρκέος ὦ ἄνα πηγῆς
αὐτὸς ἔχων κληῖδα, καὶ ὑλαίοις ἐνὶ κόσμοις.
ὑψόθεν ἁρμονίης ῥύμα πλούσιον ἐξοχετεύων.
κέκλυθι, μεσσατίην γὰρ ἐὼν ὑπὲρ αἰθέρος ἕδρην,
καὶ κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον,
πάντα τεῆς ἔπλησας ἐγερσινόοιο προνοίης.
ζωσάμενοι δὲ πλανῆτες ἀειθαλέας σέο πυρσούς,
αἰὲν ὑπ' ἀλήκτοισι, καὶ ἀκαμάτοισι χορείαις,
ζωογόνους πέμπουσιν ἐπιχθονίοις ῥαθάμιγγας.
πᾶσα δ' ὑφ' ὑμετέρῃσι παλιννόστοισι διφρείαις,
ὡράων κατὰ θεσμὸν ἀνεβλάστησε γενέθλη.
στοιχείων δ' ὀρυμαγδὸς ἐπ' ἀλλήλοισιν ἰόντων,
παύσατο σεῖο φανέντος ἀπ' ἀρρήτου γενετῆρος.
σοὶ δ' ὑπὸ μοιράων χορὸς εἴκαθεν ἀστυφέλικτος.
ἂψ δὲ μεταστρωφῶσιν ἀναγκαίης λίνον αἴσης,
εὖτε θέλεις, περὶ γὰρ κρατέεις, περὶ δ' ἶφι ἀνάσσεις,
σειρῆς δ' ὑμετέρης βασιλεῦ θεοπειθέος οἴμης
ἐξέθορεν φοῖβος, κιθάρῃ δ' ὑπὸ θέσκελα μέλπων,
εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.
σῆς δ' ἀπὸ μειλιχόδωρος ἀλεξικάκου θιασείης,
παιήων βλάστησεν, ἑὴν δ' ἐπέτασσεν ὑγείην.
πλήσας ἁρμονίης παναπήμονος εὐρέα κόσμον.
σὲ κλυτὸν ὑμνείουσι διωνύσοιο τοκῆα.
ὕλης δ' αὖ νεάτοις ἐνὶ βένθεσιν εὔιον ἄττην,
ἄλλοι δ' ἁβρὸν ἄδωνιν ἐπεφήμισαν ἀοιδαῖς.
δειμαίνουσι δὲ σεῖο θοῆς μάστιγος ἀπειλήν.

δαίμονες ἀνθρώπων δηλήμονες ἀγριόθυμοι.
ψυχαῖς ἡμετέραις δυεραῖς κακὰ πορσαίνοντες·
ὄφρ' αἰεὶ κατὰ λαῖτμα βαρυσμαράγου βιότοιο,
σώματος ὀτλεύωσιν ὑπὸ ζυγόδεσμα ποθεῦσαι.
ὑψιτενοῦς δὲ λάθοιντο πατρὸς πολυφεγγέος αὐλῆς.
ἀλλὰ θεῶν ἄριστε, πυριστεφὲς, ὄλβιε δαῖμον.
εἰκὼν παγγενέταο θεοῦ ψυχῶν ἀναγωγεῦ
κέκλυθι, καί με κάθηρον ἁμαρτάδος αἰὲν ἁπάσης·
δέχνυσο δ' ἱκεσίην πολυδάκρυον. ἐκ δὲ μολυσμῶν
ῥύεο κηλίδων, ποινῶν δ' ἀπάνευθε φυλάσσοις.
πρηΰνων θοὸν ὄμμα δίκης, ἣ πάντα δέδορκεν.
αἰεὶ δ' ὑμετέραισιν ἀλεξικάκοισιν ἀρωγαῖς,
ψυχῇ μὲν φάος ἁγνὸν ἐμῇ πολύολβον ὀπάζοις.
ἀχλὺν ἀποσκεδάσας ὀλεσίμβροτον, ἰολόχευτον.
σώματι δ' ἀρτεμίην τε, καὶ ἀγλαόδωρον ὑγείην.
εὐκλείης τ' ἐπίβησον ἐμὲ, προγόνων τ' ἐνὶ θεσμοῖς
μουσάων ἐρασιπλοκάμων δώροισι μελοίμην.
ὄλβον δ' ἀστυφέλικτον ἀπ' εὐσεβίης ἐρατεινῆς,
εἰ θέλεις δὸς ἄναξ, δύνασαι δὲ ἅπαντα τελέσσαι·
ῥηιδίως, κάρτος γὰρ ἔχεις, καὶ ἀπείριτον ἀλκήν.
εἰ δέ τι μοιριδίοισιν ἑλιξοπόροισιν ἀτράκτοις,
ἀστροδινήτοις ὑπὸ νήμασιν οὐλοὸν ἄμμιν
ἔρχεται, αὐτὸς ἔρυκε τεῇ μεγάλῃ τόδε ῥιπῇ.

## Εἰς ἀφροδίτην.

Υ μνέομεν σειρὴν πολυώνυμον ἀφρογενείης
καὶ πηγὴν μεγάλην βασιλήιον, ἧς ἄπο πάντες
ἀθάνατοι πτερόεντες ἀνεβλάστησαν ἔρωτες.
ὧν οἱ μὲν, νοεροῖσιν ὀιστεύουσι βελέμνοις,
ψυχὰς, ὄφρα πόθων ἀναγώγια κέντρα λαχοῦσαι,
μητέρος ἰχανόωσιν ἰδεῖν πυριφεγγέας αὐλάς.
οἱ δὲ, πατρὸς βουλῇσιν ἀλεξικάκοις τε προνοίαις,
ἱέμενοι γενεῇσιν ἀπείρονα κόσμον ἀέξειν,

ψυχαῖς ἵμερον ὦρσαν ἐπιχθονίου βιότοιο.
ἄλλοι δ' ἐγγαμίων δώρων πολυΐδριας οἶμον
αἰὲν ἐποπτεύουσιν, ὅπως θνητῆς ἀπὸ φύτλης,
ἀθάνατον θείξωσι δυσπαθέων γένος ἀνδρῶν.
πᾶσιν δ' ἔργα μέμηλεν, ἐρωτοτόκου Κυθερείης.
ἀλλὰ θεά, πάντῃ γὰρ ἔχεις ἐπακήκοον οὖας.
εἴτε περισφίγγεις μέγαν οὐρανόν, ἔνθα σέ φασιν
ψυχὴν ἀενάου πέμπειν κόσμοιο θεείην,
εἴτε καὶ ἑπτὰ κύκλων ὑπὲρ ἄντυγας αἰθέρι ναίεις,
σειραῖς ἡμετέραις δυνάμεις προχέουσ' ἀδαμάστους,
κέκλυθι, καὶ πολύμοχθον ἐμὴν βιότοιο πορείην,
ἰθύνοις, σέο πότνα δικαιοτάτοισι βελέμνοις.
οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν ἐρωήν.

Εἰς τὰς μούσας.

Ὑμνέομεν μερόπων ἀναγώγιον ὑμνέομεν φῶς.
ἐννέα θυγατέρας μεγάλου Διὸς ἀγλαοφώνους.
αἳ ψυχὰς κατὰ βένθος ἀλωομένας βιότοιο
ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων.
γηγενέων ῥύσαντο δυσαντήτων ὀδυνάων,
καὶ σπεύδειν ἐδίδαξαν, ὑπὲρ βαθυκύμονα λήθην
ἴχνος ἔχειν, καθαρὰς δὲ μολεῖν ποτὶ σύννομον ἄστρον,
ἔνθεν ἀπεπλάγχθησαν ὅτ' ἐς γενεθλήιον ἀκτὴν
κάππεσον, ὑλοφάγοισι περὶ κλήροισι μανεῖσαι.
ἀλλὰ θεαὶ καὶ ἐμεῖο πολυπτοίητον ἐρωὴν
παύσατε, καὶ νοεροῖς με σοφῶν βακχεύσατε μύθοις,
μηδέ μ' ἀποπλάγξειεν δεισιθέων γένος ἀνδρῶν,
ἀτραπιτοῦ ζαθέης ἐριφεγγέος ἀγλαοκάρπου.
αἰεὶ δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης,
ἕλκετ' ἐμὴν ψυχὴν παναλήμονα πρὸς φάος ἁγνόν,
ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπὸ βίβλων,
καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχουσαν.

κλῦτε θεοὶ σοφίης ἱερῆς οἴηκας ἔχοντες,
οἳ ψυχὰς μερόπων ἀναγώγιον ἁψάμενοι πῦρ,
ἕλκετ' ἐς ἀθανάτους σκότιον κευθμῶνα λιποῦσας.
ὕμνων ἀῤῥήτοισι καθηραμένας τελετῆσι.
κλῦτε σαωτῆρες μεγάλοι, ζαθέων δ' ἀπὸ βίβλων.
νεῦσατέ μοι φάος ἁγνὸν ἀποσκεδάσαντες ὁμίχλην.
ὄφρα κεν εὖ γνοίην θεὸν ἄμβροτον, ἠδὲ καὶ ἄνδρα.
μὴ δέ με ληθαίοις ὑπὸ χεύμασιν οὐλοὰ ῥέζων,
δαίμων αἰὲν ἔχοι μακάρων ἀπάνευθεν ἐόντα.
μὴ κρυερῆς γενέθλης ἐνὶ κύμασι πεπτωκυῖαν
ψυχὴν οὐκ ἐθέλουσαν ἐμὴν ἐπὶ δηρὸν ἀλᾶσθαι
ποινή τις κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ.
ἀλλὰ θεοὶ σοφίης ἐριλαμπέος ἡγεμονῆες
κέκλυτ', ἐπειγομένῳ δὲ πρὸς ὑψιφόρητον ἀταρπὸν
ὄργια, καὶ τελετὰς ἱερῶν ἀναφαίνετε μύθων.

## Εἰς ἀφροδίτην.

Ὑμνέομεν Λυκίων βασιληίδα κυραφροδίτην.
ἧς ποτ' ἀλεξικάκοιο πρισκήδοντες ἀρωγῆς,
πατρίδος ἡμετέρης θεοφράδμονες ἡγεμονῆες
ἱερὸν ἱδρύσαντο κατὰ πτολίεθρον ἄγαλμα,
σύμβολ' ἔχον νεαροῖο γάμου, νεαρῶν ὑμεναίων,
ἡφαίστου πυρόεντος, ἰδ' οὐρανίης ἀφροδίτης.
καί ἑ θεὴν ἀνόμηναν ὀλυμπίαν· ἧς διὰ κάρτος
πολλάκι μὲν θανάτοιο βροτοφθόρον ἔκφυγον ἰόν.
ἐς δ' ἀρετὴν ἔχον ὄμμα γελαιογόνων δ' ἀπὸ λέκτρων
ἔμπεδος ἀγλαόμητις ἀνασταχύεσκε γενέθλη,
πάντῃ δ' ἠπιόδωρος ἔην βιότοιο γαλήνη.
ἀλλὰ καὶ ἡμετέρην ὑποδέχνυσο πότνα θυηλήν,
ἀσπίης· Λυκίων γὰρ ἀφ' αἵματος εἰμὶ καὶ αὐτός.
ψυχὴν δ' ἂψ ἀνάειρον, ἀπ' αἴσχεος ἐς πολὺ κάλλος
γηγενέος προφυγοῦσαν ὀλοίϊον οἶστρον ἐρώτων.

# ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΜΩΣΧΟΥ ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΛΙΘΩΝ ΟΡΦΕΩΣ.

Ειοδάμαντι τῷ πριάμου συναντήσας ὀρφεὺς μετὰ τῶν ἑταίρων τινῶν πρὸς θυσίαν ἡλίου ἣν ἐτέλει κατ᾽ ἔτος εἰς ὄρος ἀνερχόμενος, καὶ αὐτῷ τῆς γενομισμένης ταύτης ἐτησίου θυσίας τὴν αἰτίαν ἀφηγεῖται, λέγων ὑπὸ δράκοντος αὐτὸν, παῖδα ὄντα ποτὲ ἀναιρεθῆναι κινδυνεύοντα καταφυγεῖν εἰς τὸ ἐκεῖσε πλησίον ἱερὸν, τοῦ ἡλίου, ὑφ᾽ οὗ καὶ σωθέντα ὡς ὁ πατὴρ περιεποιήσατο, τῆς τοῦ παιδὸς σωτηρίας κατ᾽ ἔτος ἦγεν ἡλίῳ θύματα, μεταστάντος δὲ ἐκείνου τῶν ἐντεῦθεν αὐτὸς ὀρφεὺς ἀντὶ τοῦ πατρὸς τῆς τοιαύτης θυσίας καθίσταται διάδοχος, ἣν νῦν ἀφοσιούμενος ἄνεισιν, συμπαραλαβὼν καὶ θεοδάμαντα, ἔτος δὲ καθ᾽ ὁδὸν τῷ ποιητῇ περὶ δυνάμεώς τε λίθων καὶ χρήσεως διεξέρχεται, οἳ τινὲς αὐτῶν χρήσιμοι πρὸς τῶν θυόντων κρατούμενοι, ὅπως αὐτοῖς τὰ τῶν εὐχῶν ἐξανύσοιτο, καὶ οἱ πρὸς τὰς ἰοβόλους τῶν δακέτων θεραπείαν, ὅθεν οἶμαι καὶ Νίκανδρος ὁ κολοφώνιος ὕστερον ὁρμηθεὶς συνέγραψε τὰ θηριακά.

σίον δὲ ὡς δύο τινὰ προοίμια τῷ πα-
ρόντος προτίθεται ποιήματος, ἐν μὲν
τῷ πρώτῳ αὐτήν τε τὴν ἀρετὴν, καὶ
I σοφίαν ἅπασαν ἐξυμνῶν, καὶ τοὺς
πάλαι τῶν ἡρώων κατ' αὐτὴν γενο-
μένους ἐνδόξους, καὶ ἰσοθέους νομισθέν-
τας, ὧν καὶ μητέρα τὴν ἀρετὴν προ-
σείρηκεν, ἐν ταυτῷ δὲ καὶ τῶν ἰδιωτῶν καθάπτεται, ὡς
ἐπιφθόνως ἐχόντων πρὸς τοὺς τὴν ἀρετὴν διώκοντας, καὶ
τούτοις ἀεὶ φιλαπεχθημόνως ἐπικειμένων· ἐν θατέρῳ δὲ ὁ
πρὸς αὐτὴν καὶ θειοδάμαντα γίνεται διάλογος.

δῶρον ἀλεξικάκοιο διὸς θνητοῖσιν ὀπάσσαι
κικλόμενος μαίης ἐριούνιος ἦλθε
δ κομίζων
υἱός, ὅπως ἀνέχωμεν ὀϊζύος ἀγρικὸν ἄλ
γος
θεσσάμενοι δ' ἴχνεσθε βροτοί, πινυτοῖσιν ὀπίσσω
ὅς ἀγαθὴ κραδίῃ, καὶ πείθεται ἀθανάτοισιν
νηπιτύοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν
τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλόμενος ἐπὶ δώρῳ
ἧκε τε λητοΐδης ἀκεσίμβροτον ἀθανάτοισιν
ἴξεν ἄγων ἐς ὄλυμπον ἀγάννιφον, ἠδὲ σαόφρων
παλλὰς ἀθηναίη λαοσσόον ἡρακλῆα.
ἀλλὰ δὲ καὶ κρονίδης ταναὸν ὑπὲρ αἰθέρα χείρων
στησάμενος πρὸς ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα
ἀγητοὶ κεῖνοι μὲν ἀμώμητοι διὸς οἶκοι
χαίροντας δέξαντο θεηγενέων ὄχ' ἀρίστους.
ἡμῖν δ' ἐν γαίῃ κέλεται χρυσόρραπις ὄλβῳ
ζώειν τερπομένοισιν ἀπηρήτοις καμάτοισι
ὅν δή κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ
ἐς πολυήρατον ἄντρον ἐπελθέμεν ἑρμείαο.
ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον
ἄψαμεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
οἴκαδ' ἀποστείχοι, προφυγὼν πολυδάκρυον ὀϊζύν
οὐδὲ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει·
οὐδ' ὅγε δυσμενέων ποθ' ὑποπτήξας μένος αὐτὸν
ἂψ ἀναχωρήσῃ προλιπὼν ἐριγηθέα νίκην.
οὐδὲ οἱ ἀθλητῆρι κονισαμένῳ ἐν ἀγῶνι
ἀντιβίην τινὰ θυμὸς ἐφορμήσῃ μενεαίνειν

ὃς δ' ἐν χάλκεια γυῖα καὶ ἄγναμπτον σθένος ἀνὴρ
ἄντικρυς στεφάνοιο πόθῳ κομίσας ἐριδαίνοι
καίνειν καὶ θήρεσσιν ὀρεσκώοισι λέοντα
δεινόν, καὶ λαοῖσιν ἐοικότα δαίμονι ταύρω
καί οἱ καὶ βασιλεῦσι διοτρεφέεσσιν ὀπάσσω
ῥεῖα καὶ ἀλλοδαποῖσι μετ' ἀνθρώποισι τίεσθαι
τὸν δὲ καὶ ἠΐθεοι τερενόχροες ἱμερτῇσι
αἰὲν ἐφορμήσουσι περιπτύξαι παλάμῃσι
καὶ μαλακὴ χρύσειον ἐπὶ λέχος αἰὲν ἐρύσσει
ἄλλη κεν κούρη ἐπιιεμένη φιλότητος
εὐχομένη τε, πρὸς οὔατ' ἀφίξεται αἰὲν ἐόντων
εὐχή, καὶ πόντοιο κυκωμένη ἐκ ἀγεσίζων
βήσετ' ἐπὶ ψαφαρὴν ἀκυμάντοισι πόδεσσι.
τὸν καὶ ληϊστῆρες ἀπάρσιοι οἶον ἐόντα
φεύξονται, καὶ δμῶες οἰόμενοι πατέρ' εἶναι
τίσουσι, καὶ οἶκον ἑοῦ στέρξουσιν ἄνακτος.
ἴδμεναι αἴκε θέλησι δαήσεται, ὅσατε φῶτες
κρυπτάδια σφετέρῃσι ἐνὶ φρεσὶ μαχανόωνται
ὅσατε κεκλήγασι μετὰ φρεσὶν ἠεροφοῖται
ἀνθρώποις, ἄφρασον ἰαυχάζοντες ἀοιδὴν
οἰωνοὶ μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται
ῥοιζῶντες, καὶ χαμαὶ ἐρχομένοιο δράκοντος
ἴσεται, ἠδ' ὄφιων ἰὸν σβέσαι ἑρπυστήρων
δώσω οἱ καὶ φῶτα, ῥοπῇ πίπτοντα σελήνης
ῥύσασθαι, καὶ νοῦσον ἀταρτηρὴν ἐλέφαντος
καὶ ψυχὴν ἱλάσαι τεθνειότος, αἴκεν ἐρεμνοῦ
ἐξ ἀΐδος προμολοῦσα ποτιχρίμπτοιτ' ἑκάστῳ
ἄλλα τ' ἀπειρέσιοι πολυμήτιος Ἑρμείαο
δωτῖναι κομίσαντος ἐπὶ σπήλυγγι κέονται
ἄμβροτοι, ἀζηκέες, ῥίμφα πρηΰνουσαι ἕκαστα

τάων ἡμίθεός τε, καὶ ὄλβιος, ὅς τ' ἀφίκηται
τὰς ἐμὲ κηρύσσειν λαοσσόος Ἀργειφόντης
ἀνθρώποισιν ὄρινε μελιγλώσσοιο κελεύσας
φθόγγον ἀπὸ στήθεσφιν ἀοιδὴν γηρύσασθαι.
ἀλλ' οὐ πάγχυ βροτοῖσι σαοφροσύνης ἀλεγίζειν
ἤμβος, αὐτὰρ δὲ πρέσβαν δαημοσύνην ἀτίουσιν
μητέρα δὴ ῥώων ἀρετῆς ἀπάτερθε κλυόντες
προβοπάδην φεύγουσιν, ἀοσσητῆρα δὲ μόχθων
μόχθων ἀοσσητῆρα βίου μάλα πεφρίκασιν.
οὐδέ σφι κρείων ἐνὶ δώμασιν ὄλβος ὁμιλεῖ
οὐδέ τις οἶδε θεοῖς ὀπαζέμεν ἀθανάτοισι
ἐκ δ' οἵγε πολίων τε, καὶ ἀνδρῶν ἤλασαν ἐσθλήν.
ἆ δειλοὶ, σοφίην ἐριούνιον ὑβρίζοντες.
ὤλετο δὲ προτέροις πεπονημένος ἡμιθέοισιν
ἔργον δ' ἀργαλέος, καὶ ἀπεχθὴς αὐτίκα πᾶσιν
δῶκεν, ἐπωνυμίην λαοὶ τεύξουσι μάγοιο.
καὶ ῥ' ὃ μὲν κονίῃσιν ὑπ' ἄορι κρατὸς ἀπευθὴς
λευγαλέῳ θανάτῳ Δίος φῶς ἐκτετάνυσται.
οἱ δ' ἴκελοι θήρεσσιν ἀνὰ δρυμὰ, οἱ δ' ἀλίδακτοι
χήτει δαιμονίοιο νοήματος, οὐδ' ὑπ' ἀρωγὴν
θεσπεσίην φυγέειν φασὶ μβροτὸν, ἐκ κακότητος.
οὔτε τι θέσκελον ἔργον, ὅσιν μάλα θαυμάζοντο,
ἴσασ', ἀλλά σφιν νεφέλη πραπίδεσσι κελαινὴ
ἀμφιπεριπλασθεῖσα βαδιζέμεν ἀνθεμόεντα
εἰς ἀρετῆς λειμῶνα πολυστέφανόν τε, μαγείρῃ
ἀλλ' ἔμεθεν ὑπισχνοῦμαι κειμήλια πευθομένοισι
ἀφνειοῖο χρυσοῖο πολὺ προφερέστερα δέξειν.
φῶτα δὲ δίζηται ταλακάρδιον, ὅς κεν ἑκάστου
ἐμμεμαὼς πετρῶν μενοινήσειέ τε, καί μοι τε,
ὅς τε διδάσκηται, καὶ ὃς εἰδότας ἐξερέοιτο.

οὐ γὰρ ἄτερ καμάτοιο τέλος μύθοισι καὶ ἔργοις
εὐρύοπα Κρονίδης ἐθέλει δόμεν, ἀλλὰ καὶ αὐτοὶ
πρὸς δύσιν ἀναπνοιῶντες ἀν' αἰθέρα λαμπετόωσαν
ἠέλιον φαέθοντα ἐφ' ἅρματι πῶλοι ἄγουσι

## Η ΥΠΟΘΕΣΙΣ.

ἄλλον ἐγὼ πινυτοῖο παραίφασιν ἀνέρος
μ εὗρον
τέρψομαι, ὑπὲρ χρυσὸν ἀπάντων κοί-
ρανον ἀνδρῶν.

ἠελίῳ γὰρ ἄγων ἱερήιον ἀντιβόλησα
ἀγρόθεν ἄστυ δ' ἰόντι περίφρονι θεοδάμαντι.
καί μιν ἑλὼν περὶ χεῖρα προσηύδων· ὦ δ' ἐπίειν
πρὸς πόλιν, εἰ μὴ πάμπαν ἐπισπέρχουσιν ἀνάγκαι
ῥηιδίως ὦ ἑταῖρε καὶ αὔριον ἔνδοθ' ἱκέσθαι
νῦν δέ σε μοι στείχοντα μετ' ἐλαπίνην θεὸς αὐτὸς
ὦρσεν ὑπαντιάσαι, τῷ μοι πρόφρων ὑπόνευσον
ἕσπεσθαι, θυσίαι ἱεροπρεπέες τελέθουσιν
ἃς ἀγαθοὶ ῥέζουσι βροτοί, γάνυται δὲ φίλον κῆρ
ἀθανάτων, οἵ τ' ἄν σφι χορὸς ἀνάγωσιν ἄριστοι
ἄξω δ' οὐ μακρὴν πρὸς ἀταρπιτόν, εἰσοράας γὰρ
ἡμετέρων με κιόντα πρὸς ἀγρῶν ἀκρώρειαν.
ἔνθα νεογνὸς ἐών, ἔτλην ποτὲ μοῦνος ἀνελθεῖν
λαιψηρῷ πέρδικι μεταισσόμενος προφυγόντι.
οἱ δ' ἤτοι εἴως μὲν ἀκούων ἔνομ' ἕκαστος
ἑσπόμενος μίμνεσκεν, ὀρεξάμενος δὲ δοκεῦθαι
πρὶν μάρψαι χείρεσσιν ἀλυσκάζων προφύγεσκεν
αὐτὰρ ἐγὼ συνέβηκεν ἐπὶ στόμα κάππεσον ἐλθών.
ἄψ δ' αὖθις γαίηθεν ἀναΐξας ἐδίωκον.

ἀλλ᾽ ὅτε δὴ κορυφὴν δὲ μετασσύμενος εἶδον ἄκρην
οἱ μὲν ἄρ᾽ ἐξαπίνης ἰαχὴν ὀξεῖαν ὀρῶντος
αἰγανέης ἔγνωσαν θοώτερον, ἠὲ βελέμνου
ὑψίκομον ποτὶ φηγὸν, ἐπειγόμενον προϊδόντες
αἰνὸν ὄφιν πετάσοντα γένυν πλείω θανάτοιο.
τὸν δ᾽ ἐγὼ ἐγχριμφθεὶς ὑπεναντίον ἀΐξαντα
οὐκ ἴδον, ὀφθαλμοὶ δέ μοι ὀρνίθων ἀμάλυνον·
πρίν περ ἀναστήσαντος ἀπὸ χθονὸς αὐχένα δεινὸν
ἐφρασάμην, ἤδη τε δέμας μεμαῶτα φυλάξαι
ἔνθ᾽ ἤτις ἀναΐσσοντα παλίσσυτον ἐστενάχησεν
ἤτε με πορδίκεσσιν ἀελλοπόδεσσιν ἔπεσθαι
ἤτε με νηπιάχοισιν ὀΐσατο ποσσὶ φέρεσθαι
κέκλετο γάρ μοι δῆμα τανύπτερον εἶναι αἰὲν
καὶ πνοιὴν ἀνέμου, παρὰ δὲ ποσὶν ὠκιὸν ἦεν.
πολλάκι δ᾽ εἴμαρτος ἄκμον ἐπιψαύσειεν ἀκωκαῖς
καί κεν ὑπὲρ μοῖραν με πελώριος ἀμφέχανεν θήρ.
εἰ μή μοι νόος ὦρτο θοῶς ἐπὶ βωμὸν ὀρῦσαι.
τὸν ῥα παλαιότεροι φαεσιμβρότῳ ἱδρύσαντο.
τῷ δ᾽ αὖ ἐπὶ ψοῦφος αὖον ἐλαινέης ἐλέλειπτο.
σχίζης, ἥν τε μαρανθὲν ἀδηφάγον ἐξέλιπεν πῦρ,
τὴν ἐγὼ ἁρπάξας ὀλοοῦ κατένωπα δράκοντος
ἐστρέφθην. μαίνησι δ᾽ ὀρεσκῷον μένος αὐτὸν
μάρνασθαι μεμαῶτα ἰδὼν, εἴλυον δὲ πυκνῶς
γνάμπτων ἀνακύκλως ταναὴν ῥάχιν, αὐτὰρ ἐπ᾽ ἄλλῳ
ἄλλος, ἔπειτα δ᾽ ἐπ᾽ ἄλλος ἑλισσομένου ῥόχος ἦεν
ἠδ᾽ ἔτι καὶ βωμοῦ ὕπερ αὐχένας ἤρταζεν
συρίζων βοόωντος ἐμῆς πολὺ μεῖζον ἀϋτῆς
καὶ τύπτον ἄρρηκτον ὀρεσκῴοιο κάρηνον
ἀμφ᾽ αὐτῷ θρασύστομον ὑπέκπυρον ὄζον ἄκικυν
οὐ γὰρ μόρσιμος ἦα δαφοινῷ θηρὶ δαμῆναι

τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισι
ἑσπομένω δύο παῖδες ἐμῷ κοῦε κικλήσκοντα
γνόντε ἐπισχαμένην μάλα γάρ σφισι μείλιχος ἔσκεν.
χὼ μὲν ἄρ' ἴαυον τοῖιν, ἐγὼ δ' ἐπὶ γαῖαν ὀρούσας
προτροπάδην ὥς τίς τε Διὸς γαμψώνυχα φεύγων
αἰετὸν ἐν πυκινοῖσι λάθοι θάμνοισι λαγωὸς
τῷ ἴκελος μήλοισι μιγεὶς ὀλοοῦ ὑπὸ θηρὸς
ἐκρύφθην μέσσοισιν ἐμπλέξας ἐρίφοισι.
ὄφρα μὲν οὖν ἀκήριτα πατὴρ ἐμέθεν ζώεσκεν
αἰεὶ μόσχον ἄγεσκεν ἐμὸν πρὸς ἀμύμονα βωμόν.
τείνων ἠελίῳ ζωάγρια παιδὸς ἑοῖο
αὐτὰρ ἐγὼν ἀγέληθεν ἐλάσσας πίονα μόσχον
ἠρινὸν, θαλέθοντα νεήνιδος οὔθατι μητρὸς
ἔρχομαι εἰς ἀκρώρειαν ἄγων χορὸν ἡδὺν ἑταίρων
σὺν δέ σφιν καὶ τὼ δυσχανοντοφόνω κιὼν βῆτην
αὐτομάτω, γλυκερὴ δὲ πέλει περὶ βωμὸν ἄνακτος
τερπωλὴ, χλοάοντι πέδον, μαλακαί τ' ἐπὶ ποῖαι
καὶ λασία πελέθουσιν ὑπὸ σκιῇ, ἀγχίδ' ἄρ' αὐτῶν.
ὕδωρ ἀέναον λιμνῆς ὑπὸ πυθμένα πέτρης,
λαβρὸν ἀναβλύζον κελαρύζετε ἥκελον ὠδῇ.
ἴομεν, ἦτοι δαῖτα θεῶν θέμις δορπήσασθαι
ὣς ἐφάμην, ὁ δέ μ' ὧδε προσηύδα δαιμόνιος φῶς
ἠγάσσε μὲν κρείων φασίμβροτος ἐξ ἀγερέτης.
αἰὲν ἄγοι καμόντος, ἀδακρύτοιό τε νέμποι
ὄλβου πρὸς μέγα δῶμα φιλοφροσύνης ἕνεκα σφῆς
οὐδὲ μὲν οὐδέ σ' ἐγὼ τοῦ ἀμοιβῆς αὐτὸς ἀμέρσω
ἀλλ' ἐπεὶ οὖν ἄξων ἱερὸν εἰσαναβαίνῃς.
ὄφρα τοι εὐχομένοιο κλύοι θεὸς ἐγγυαλίξω.

## ΚΡΥΣΤΑΛΛΟΣ.

κ Ρύσαλλον φαέθοντα διαυγέα λάζεο χερσὶ
λᾶαν, ἀπόρροιαν περιφεγγέος ἀμβρότου αἴγλης.
αἰθρὶ δ' ἀθανάτων μέγα τέρπεται ἄφθιτον ἦτορ.
τὸν καὶ εἴπερ μετὰ χεῖρας ἔχων περὶ νηὸν ἵκηαι
οὔ τίς τοι μακάρων ἀρνήσεται εὐχωλῇσι.
κέκλυθι δ' ὄφρα μάθοις γε μένος θηητοῖο λίθοιο
εἰ γὰρ ἄτερ κρατεροῖο θέλοις πυρὸς ἐς φλόγας ὄρσαι
κέκλομαι ἀβαλέων μιν ὑπὲρ δαΐδων καταθεῖναι.
αὐτὰρ ὅ γ' ἠελίοιο κατ' ἀντίον αὐγάζοντος.
ἀντίχ' ὑπὲρ δαΐδων ὀλίγην ἀκτῖνα τανύσει
ἡ δ' ὅτε καρφαλέης τεθίγῃ καὶ πίονος ὕλης
καπνὸν, ἔπειτα δὲ πῦρ ὀλίγον μετὰ δὲ φλόγα πολλὴν
ὄρσει, τὴν δ' ἄρα φασὶ παλαιγονέες ἱερὸν πῦρ,
τοῦ δ' οὐχ ἑτέρου μᾶλλον φλογὸς ἔλπομ' ἔγωγε
ἀθανάτοις ὅ τι κεχαρισμένα μηρία καίειν.
πρὸς δ' ἔτι σοι καὶ τοῦτο φίλος μέγα θαῦμα πιφαύσκω
αὐτὸν ὅ τις πέλεται φλογὸς αἴτιος, αἶψα μάλ' ὠκὺ
ἐκ πυρὸς ἁρπάξαι ψυχρὸς πέλει ἀμφαφάασθαι
ἀμφὶ δὲ καὶ νεφροῖσι ἐθείρας κάμνοντα σαώσει.

## ΓΑΛΑΤΙΤΗΣ.

δ Εύτρεν ἀχομένῳ τοι θρηνότα λᾶαν ὀπάσω
θεσπεσίοιο γάλακτος ἐΰπλειον,
ὥστε μαζὸν

πρωτοτόκην νύμφης, ἢ μὴ καὶ τόδ' ὅς ὀβατείωης
τὴν ῥα παλαιγενέες μὲν ἀνακτίτιν ἀδάμαντα
κλῆσιν, ὅτι γνάμπτει μακάρων νόον, ὄφρα θυηλὰς
ἁζόμενοι ἐθέλωσιν ἐπιχθονίους ἐλεαίρειν.
ἣ δ' ἄρα μιν λήθαιον ἐφήμισαν, οὕνεκεν αἰεὶ
μεμνῆσθαι κακότητος ὀϊζυρῆς ἀπερύκει·
θνητοὺς ἀθανάτους τε, νόον δ' ἐριούνιον εἶναι
θέλγει, ἐποπρωΐων ἀγανὰ φρεσὶ βουλεύεσθαι.
ἄλλοι δ' ἐσκήψαντο γαλακτίδα φέρτερον εἶναι
κικλήσκειν πέτρην, ὅτι τοι ποίψαντο γάλακτος
ἐκ προρέει λευκοῖο παλίνκελος ἔνδοθεν ἰχώρ·
πέτρᾳ δέ τοι καὶ τῇδε παρέσσεται αἴκε θέλησθα.
θάματα γὰρ μήλων ὅτε κεν μινύθοντα ἴδηαι·
πῶς ἔρξεις φίλε τέκνον, ἐπὴν ἐρίφοισι τ' ὀΐσιν
ὥς ποτε θῆρα πέλωρον ὑπεκπροφυγοῦσιν ἱκέτευε
τοῖσι παραστείης τελκόσι, οἱ δ' ἐνὶ σηκῷ
ἀμφίς ἐπι λεπταλέοι γοερὸν περιμυκήσονται·
τῶν μὲν ἀκηχεμένας ἐπιτέλλεο μητέρας αὐτὸς
λοῦσαι πηγάων κυανοχετέων ἐν δίνῃσι
στήσας δ' ἠελίου κατεναντίον ἀντέλλοντος
ἀγνίζειν μὲν πρῶτον ἐποιχόμενος περὶ πάσας
ἅλμην δ' ἐν κρητῆρι, καὶ ἄλφιτα λεπτὰ λίθοιο
χευάμενος, διὰ τῶν καὶ αἰγῶν ἔρχε ὅμιλον
ῥαίνων καρποφόρον λάσιον κατὰ νῶτον ἑκάστης
θάλλωνται δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκὸν
ἐξαπίνης μετὰ τέκνα φερεγλαγέων τελέθουσι
οἱ δ' ἄρ ὑπὲρ μαζοῖσι κορεσσάμενοι γαλαθηνοὶ
σκιρτηθμῶν ἐξαῦτις ἀναμνήσοντ' ἀγέρωχοι
σὺν δὲ μελικρήτοιο μετὰ γλυκεροῖο μιγέντα,
ὄρνυε πινέμεν νύμφῃ, ἵνα νήπιον ἦα

μαστοῖσιν μινύθοντα παρ' αὐταῖσι κομίζοι
ἀμφὶ δ' ἄρ' αὐχένι παιδὸς ἀρτήξασα τιθήνη,
λᾶαν, ἐρυκάσας κακομήτιος ὄσσε μεγαίρης.
καὶ δέ σε βασιλῆες ἀμύμονες αἰδέσονται
ἐν χερὶ λᾶαν ἔχοντα, καὶ ἄπλετα φῦλ' ἀνθρώπων.
ἀθάνατοι δὲ μάλιστα, νόου καταθύμια σεῖο
πάντα τελευτήσουσιν ἐπαρχέων αἰτοῦντος.

## ΠΕΤΡΑΚΗΣ.

Χρὴ δὲ καὶ ἀπέταλον πεφάνια λᾶαν ἔχοντας
ἀρᾶσθαι παρὰ βωμὸν ἐναιρομένης ἑκατόμβης.

## ΑΧΑΤΗΣ.

Αἰ δ' ἐνδροφύτοιο φέροις σφῦρον ἐν χε-
a ρὶ πέτρης
μᾶλλον καὶ τέρψοιο θεῶν νόος αἰὲν
ἐόντων.
δένδρεα γὰρ μάλα πολλὰ κατόψεται
ὡς ἐπὶ κήπῳ
ἀνθεμόεντι, κλάδοισιν ἐπασσυτέροις κομόωντα.
τοὔνεκά οἱ καὶ φῶτες ἀχάτῃ δενδρήεντι
θῆκαν ἐπωνυμίην, ὅτι οἱ τὸ μὲν ἔπλε τ' ἀχάτου
ἄλλο δ' ἔχει λασίης ὕλης δέμας εἰσοράασθαι
τὸν δὲ τεῇσι βόεσιν ἀναγχίζουσιν ἄρουραν
ἀμφὶ κέρα δύω βαλέειν, ἢ καρτερὸν ἀμφὶς
ὦμον, ἀροτροπονοῦντες ἀπειρέος ἀγροιώτου.
καί κεν ἀπ' οὐρανόθεν σταχυοπλόκαμος Δημήτηρ
μεσὸν ἴοι φερέκαρπον ἐυαύλακος κόλπον ἔχουσα.

## ΠΕΡΙ ΚΕΡΑΤΟΣ ΕΛΑΦΟΥ

Κέκλεο, καὶ θνητὸν ἔχων ἐλάφοιο
σ πέλαξε
ἀθανάτοισι κέρας, ποτὶ γὰρ νόος
οὐρανιώνων
μειδιάᾳ, φύσιος πολυδαιδάλου ἔργον ἰδόντων
ἐκ κεφαλῆς ἐλάφοιο, φύεται μὲν ὅ ποτὶ κόρσην
πέτρη, ἀλλ' ἔμπης τέλεται κρατερή τε γε πέτρη.
ὅδ' εἴ κεν ἂν γνοίης κέρας ἀτρεκὲς, ἢ λίθος ἐστὶ
πρίν κε μιν ἀμφαρέων ὤροις τυμβτέα λᾶαν.
αἰεί τοι θήσεις λασίην ἐπὶ κράατι λάχνην
εἰ καὶ ψεδνοκάρηνος ἔοις, εἰ γάρ μιν ἐλαίῳ
τριβόμενον τρίβοις κροτάφους πάνθ' ἤματα σεῖο,
αἱ δέ, νέαι περὶ βρέγμα τεὸν τρίχες ἀνθήσουσι.
πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐς δέμνια κούρην
τοῦ πωλῆς ἐρατῆς ἐπιμάρτυρα, τὸν δὲ φέροιτο
λᾶαν, ὁ δ' ἀρρήκτοισιν ὁμοφροσύνῃσιν ἅμ' ἄμφω
ὕπαρ ἐς γῆρας καὶ ἐς ἤματα πάντα κυβίξει.

## ΤΩΝ ΕΝ ΑΓΡΟΙΣ ΑΥΛΙΖΟΜΕΝΩΝ.

Οἰμένι δ' ἀγραύλων ταύρων Διὸς
π αἰηιόχοιο
ἠέτ' κεινοχίτωνι λίθον καταθύμιον
εἶναι
βάρβαρον ἀγγέλλω, συριηγενέος κελαδεινοῦ
ὕδασιν εὐφρήταο διαινόμενον ζαθέοισι.
ὅς τοι φυταλιῆς ἕνεκεν ῥέξαντι θυηλὰς

κλήμασιν αὐτίκα σεῖο φθεισιφύλοισιν ἀλωὰς
ἀμφιέσας, πολλόν τοι ἀφύσσεσθαι μέθυ δώσει

## ΙΑΣΠΙΣ.

Αἰ γλαφυρὸν κομίσας ἠερόχροον αἰ-
* ἐν ἴασπιν
ἱερὰ ῥέξοιτις μακάρων ἰαίνεται ἦτορ
καί οἱ καρφαλέας νεφέλαις κορέσουσιν
ἀρούρας
ἠδὲ καὶ αὐχμηρῇσιν ἄγοι πολὺν ὄμβρον ἀρούραις.
αὔχμης δ' ἐκ πεδίου ῥοθίων ἀπόρσῃ χάλαζαν
ἡμετέρην, καὶ κῆρας ὅσαι στιχόωσιν ἐπ' ἀγροὺς
καὶ σὲ γὰρ ἀθανάτων φιλέει νόος, ἐκ δ' ἄρα βωμῶν
ἠΰτε τοῦ κρύσταλλος ἄνευ πυρὸς ἐς φλόγα πέμπῃς
ἐκ δέ σοι ἀντίπαλον κεῖται μένος, ὁππότε μὴ πῦρ
κνιδαῶ ἀμφιέσῃ, ἐν δὲ πλείοιο λέβητος
ψυχρὸν ἐπεγομένοιο προσμίμνει ἔνδοθεν ὕδωρ
εἰ δέ τις ἐν ψυχροῖσι λίποι κονίῃσι λέβητα
παρλάξῃ κρατεροῖο κυκωμένου ἔνδοθι χαλκοῦ.

## ΤΟΠΑΖΟΣ.

ἄλλοι δ' αὖτ' ἐπὶ τοῖσι καὶ ὑαλοειδέα
ἐ εἶναι
κλείονται θνητοῖσι θυηπολίοισι
τόπαζοι.

## ΟΠΑΛΛΙΟΣ.

ἠμὶ δέ τοι τέρπειν καὶ ὀπάλλιον ὀρφανίωνας
φ ἀγλαὸν ἱμερτοῖο τέρενα χρόα παιδὸς ἔχοντα
καὶ ἕ καὶ ὀφθαλμοῖσιν ἀσαυητῆρα τετύχθαι
καὶ πίτυος δάκρυσιν λιθύμενον ὀψιανοῖο,
καὶ σμύρνην σμίσγειν εὐώδεα, καὶ φολίδεσσιν
δρηφέαιν λεπιδωτὸν ἀποστίλβοντα κελαινῶν.
αὐτίκα γάρ τοι δώσουσι θεοπροπίας, ἀγαθῶν τε
ἐσσομένων, λυγρῶν τε· καὶ ἔσσεαι ἄντε θέλησθα
καὶ ταύρων ἀγγειτικὰ πάθη λεπιδωτὸς ἀμυνεῖ.
δοιὼ δ' ἠελίῳ χρυσόπτοιχι λᾶε πέλονται
ἄμφω θεσπεσίω· θάμβος δέ τοι ἔσετ' ἰδόντι·
ἀμφοτέροις ἀκτῖνες ἐπήτυμοι ἐμπεφύασιν,
ὀρθαὶ, λαμπετόωσαι, ἰδεῖν γε μὲν οἷον ἔθειραι
εἶδος δέ σφι λίθων ἄλλο, τὸν μέν τε νοήσῃς
κρύσταλλον κενεὸν, ὁ δὲ χρυσολίθῳ δέμας ἄντην
ἴκελος ἐσιδέειν· εἰ δ' οὐκ ἔχει οὐδ' ὅγ' ἐθείρας
χρυσόλιθός κεν ἔην, ἀτὰρ ἐσθλὸν φημὶ τετύχθαι
ἐν γάρ σφιν μέγα δή τι φερέσβιος ἔμβαλε πνεῦμα
ἠέλιος ῥοῖζον ἐρικυδίος αὐτίκα φωτὸς
σεμνοτέρους τ' ἰδέειν, καί τοι σέβας ἔσσεται αὐτῶν.
αἶψα γὰρ ἡρώων σφιν ἐπέρχεται εἶδος ἀγαυὸν
οἵ τε θεῶ μέγα δῶρον ἐπισταμένως φορέουσι
τόλμα δ' ἀθανάτους καὶ αὐτεῖ κεκλίεσθαι.

## ΜΑΓΝΗΤΙΣ.

Αγνῆτιν δ' ἔξοχ' ἐφίλησεν θούριος
ἄρης
μ σαῦλκεν ὁππότε κεν πελάσοι πολιοῖο
σιδήρου
ἠΰτε παρθενικὴ γλακόφρονι χροῒν ἑλοῦσα
ἠΐθεον στέρνῳ προσπτύσσεται ἱμερόεντι
ὣς ἥ γὰρ πάζουσα ποτὶ σφέτερον δέμας αἰεὶ
καὶ πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστὰ σίδηρον
ἤτοι μέν μιν φασὶ καὶ ἠελίοιο πέλεσθαι
ἀμφίπολον κούρης ὅτε κεν θέλγῃ ποτὰ παλαιοί.
καί μιν ὑπέρθυμος τεκτόνος αὐτὰρ
κύδηνεν κούρη πολυμήχανος. αὐτὰρ ἔγωγε
σῆς ἀλόχου κέλομαί σε δαήμεναι. εἴ ποθεν ἀγνὴν
ἀνδρὸς ἀπ' ἀλλοτρίοιο λέχος καὶ δῶμα φυλάσσοι,
ἢν γάρ μιν κομίσας ὑποδέμνια κάτθεο λάθρῃ
χείλεσιν αἰδώων θελξίμβροτον ἀρτέμας ᾠδήν,
ἡ δὲ κατακνώσσουσα καὶ ἡδύ περ μάλ' ἐν ὕπνῳ
ἀμφὶ σὲ χεῖρ' ὀρέγουσα ποτιπτύσσειν μενεαίνει.
ἣ δ' ἐμαχλοσύνῃσιν ἐλαύνεται δι' ἀφροδίτη
ὑψόθεν ἐς γαῖαν τετανύσεται ἐκπροχέουσα
καὶ δοιὼ μάγνησσαν ἀδελφειὼ φορέοντε.
θυμὸν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε.
καὶ λαοὺς ἀγορῆνδε συναγρομένους ἐπὶ κούρῃ
θέλξεις ἐνὶ στήθεσσιν ἄγων μελιηδέα πειθώ
καί τοι πολλά κεν ἄλλα διωκόμενος καταλέξω
θέσκελα τοῖο λίθοιο. τί πλεῖον οὐρανιώνων
φθέγγομαι, ὧν αἶψα καὶ ὑψόθι περ μάλ' ἐόντων
ἦτορ ἐπιγνάμπτει καὶ ἐφέλκεται, ὄφρα κε σεῖο

οἴκου μάλ' ὥς τε τοκῆες ἐέλδωρ ἐκτελέσωσι.
ἀλλ' ἤτοι τάδε μὲν καὶ ἐπαυτίκα πειρηθῆναι,
πάντα μάλ' οὐ ἀγόρευσα πορέαται· ἀλλ' ἐπὶ βωμὸν
ἔλθωμεν, καὶ γάρ μοι ἐπισπόμενός μοι ὅδ' ἀνὴρ
ὤμοισι κρατεροῖσιν ἑὴν φέροι αἰόλον ὕλην.
νῦν δ' ἐπεὶ ἀδραπιτοῖο πολὺ πλέον ἄμμι λέλειπται
σεῖο δέ τοι κλονέει κραδίην μέγα δέργμα δράκοντος
μάνθανε καὶ δολιχῶν ὄφιων μὴ δειέμεν ἰοὺς
ῥίψαι γὰρ λεπτὴν ὀφιήτιδα κεκλεοπέρην
ἤν ποτέ τις κρατεροῖο πεπαρμένος ἔλθῃ ὀδοῦσι
καί μιν ἐφ' ἕλκει πάσσε, καὶ ἀζεμὲς ἔσσετ' ὄνειαρ.

## ΟΣΤΡΙΤΗΣ.

σοὶ δὲ καὶ ὀστρίτην ὀΐω λίθον
ἐντρίψαντα
ἄκρηγον κέλομαι πίνειν ὀδμωήφατον
εἰδώς.
αὐτοκασιγνήτην πολιῆς καὶ ὁμώνυμ' ἐχίδνης
ἥ ῥά ποτ' εὐναετ' ἐϊ λώβην ἀμενηνὸν ἔθηκε.
ῥίμφα φιλοκτήταο μαχαονίης ὑπὸ τέχνης.
ἦ μὲν πῶς κείνου ποιάντιος ἔλπετο θυμῷ
νῆσον ὑπεκφεύξεσθαι ἀταρτηρὴν ποθέων τε.
ἀλλ' ὅτ' ἀλεξικάκοιο μαθὼν παρὰ πατρὸς ἀρωγὴν
λᾶαν ὅτις κεκύθοιτο βαλὼν ἐπὶ φάρμακα μηρῷ
σῶιν ἐπὶ ῥώεσιν ἀλεξάνδροιο φονῆα
τὸν ῥα μεθύσμίνην ἥκειν ποσὶν ἀζεμένοιιν
πριαμίδης πάρος αὐτὸς ἀποθνήσκων παρὰ τίσει
ἔκτανε δ' ἠπεροπῆα πάριν ποιάντιος ἥρως
κεκλομένου δαναοῖς ἑλένην δόμονδε κομίσαι

λοιπὸν

λοιγὸν ἀδελφειοῖο μεταφέρον ἐκ λήμνοιο.
τῷ γὰρ ἀπόλλων φοῖβος ἔχειν λίθον αὐδήεντα
δῶκε σιδηρῖτιν νημερτέα ἥν ῥα βροτοῖσιν
ἤνδανεν ἄλλοισι καλέειν ἔμψυχον ὀρείτην
τρηχὸν, ὑποβρυχόω, στιβαρὸν, μελανόχροα, πυκνὸν
ἀμφὶ δέ μιν κύκλῳ περί τ' ἀμφί τε πάντοθεν ἶνες.
ἴκελαι ῥυτίδεσσιν ἐπιγράβδην τανύονται
ἤματα μὲν τρὶς ἐφ' ἑπτὰ βίην ἑλένοιο πέπυσμαι
θηλυτέρης τε λέχος φεύγειν, καὶ κοινὰ λοετρὰ
καὶ σιμὸν ἀδίαντον ἐδωδῆς ἐμψύχοιο
αὐτὰρ δ' ἐπὶ πέμπον ἐχέφρονα πολλάκι λύων
φάρεσιν ἐν μαλακοῖσιν ἅτε βρέφος ἀγκλίσασκε
καὶ θεὸν ὡς ἐπαοιδῇσιν θρησάμενος θυέεσσι
λᾶαν ὑπὸ μελέεσσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.
ἐν καθαροῖς δὲ φάος μεγάροις λύχνοισιν ἀνάπτων
χερσὶν ἑαῖς ἀτίταλλε θεουδέα πέτρον ἀείρας
μητέρι νήπιον υἱὸν ἐοικὼς ἥ κατεχύσῃ
καὶ σὺ δ' ἐπὴν ἐθέλῃς ὄπα δαιμονίην ἐπακοῦσαι
ὧδ' ἔρδειν, ἵνα θαῦμα μετὰ φρεσὶ σῇσι δαείης.
ὁππότε γάρ μιν πάγχυ κάμῃς ἐνὶ χείρεσι πάλλων
ἐξαπίνης ὄψει νεογιλοῦ παιδὸς ἀϋτὴν
φαιὴς ἐν κόλπῳ κεκληγότος ἀμφὶ γάλακτι
μὴ δὲ σὺ τετληότι νόῳ αἰνέμεν αἰεὶ
μὴ πῶς ἠπεδανοῖο λυθεὶς ὑπὸ δείματος ἔξω
ἐκ χειρὸς οὖδασδε βαλὼν χόλον αἰνὸν ὀρίνῃς
ἀθανάτων, τόλμα δὲ θεοπροπίην ἐρεείνειν
πάντα γὰρ ἐξερέει νημερτέα, καί μιν ἔπειτα
πλησίον ὀφθαλμῶν ὅτε κεν λύσῃσι πελάσσας.
δέρκεο, θεσπεσίως γὰρ ἀποψύχοντα νοήσεις.
ὧδε μὲν ἀμφιδήσειν ἁλώσιμον ἔφρασε πάτρην

λαομεδοντιάδης φοιβήτορι λᾶϊ πιθῆσαι.
σοὶ δ' ἔτι καὶ σθένος ἄλλο σιδηρήταο πιφαύσκω
ἑρπετῷ γὰρ δὴ πάμπαν ὑποδρομέοντι ἔοικε
σῷο δ' ἔχεν πολὺ μεῖζον ἀκοίμητόν τε νόοιο
δεῖμα φιλοκτήτης μεμνημένος αἰὲν ἐχίδνης
τοὔνεκα παλαμήδεο σαόφρονος οὔποτε νόσφι
ἤθελεν οἴχεσθαι γνυόμενος, ὄφρα τιν' εἴποι
θαλπωρήν. εἴ πέρ ποτ' ἐπὶ χθονία μητέρα θηρῶν
ἔρχεται, πῶς κεν πολιὸν γένος ἐκπροφύγησι
τῶ δ' ὅγε λικρῖδην ἐπέων ἐπιμάρτυρα φοῖβον
κικλήσκων ἀγόρευε, τὰ δὴ νῦν σοι καταλέξω.
ὅ τε με παῖδ' ἐδίδασκεν ἀκερσεκόμης ἀγορεύειν
μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι
φαύλα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι
τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τὰ ἕκαστα.
φράζεο νῦν ἥρως ἑκατηβόλε μῦθον ἐμεῖο
αὐτὴ γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι
τίκτει καὶ κακότητα, καὶ ἄλγεος ἄλκαρ ἑκάστου.
γαῖα μὲν ἑρπετὰ τίκτε, τέκεν δ' ἐπὶ τοῖσιν ἀρωγήν
ἐκ γαίης δὲ λίθων πάντων γένος, ἐν δ' ἄρα τοῖσι
κάρτος ἀπειρέσιον, καὶ ποικίλον, ὅσα δυνάνται
ῥίζαι, τόσα λίθοι, μέγα μὲν σθένος ἔπλετο ῥίζης.
ἀλλὰ λίθου πολὺ μεῖζον, ἐπεὶ μένος ἄφθιτον αἰεὶ
γεινομένω μήτηρ καὶ ἀγήραον ἐγγυάλιξεν.
ἡ δὲ καταθνήσκει τε μινυνθάδιον θαλέθουσα.
καὶ τόσον αὐτῆς κάρτος ἔφ' ὁππόσον ἔμπνοος ἔην,
ἢν δ' εἰκ' ἀποπνεύση τὶς ἔτ' ἐλπωρὴ παρὰ νεκρῆς.
ἐν μὲν δὴ βοτάναις ἦρι λυγρῶν τε, καὶ ἐσθλῶν
δήεις. ἐν δὲ λίθοις ἄπαν ὃ ῥεῖα κεν εὕροις,
ἦ τοι ὅσαι βοτάναι, τόσοι λίθοι, ἀλλὰ σύ γ' ἥρως.

ἀλλ' οὐ σιδηρείῳ πεφυλαγμένος ἕρπετα πάντα
θαρσαλέως ἢ καί τοι ὁμιλαδὸν ἀντιόωσιν
ἔρχεσθαι διὰ μέσσα κελαινῆς οὐκ ἀλεγίζων
λώβης, οὐ γὰρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων
οὐδ' εἴκειν στείχοντος, ἐπιχρίμπτοιντο πόδεσσιν
οὐδὲ γὰρ οὐδὲ μένειν τοῦ ἔτι προφανέντα δύναιται.
ἀλλὰ μετὰ σφίσι θάμβος, ἐλαυνομένοισι δ' ὁμοῖα
ἔσσυνται. τὰ δὲ καὶ τοῦ ἐναντίον ἀΐξαντα
αἶψ' ὀπίσω παλίνορσα μεθ' ὑπείξειν μενεαίνει.
καὶ σφίσιν ἐξαπίνης ῥόθος ἵσταται, οὐδέ τι πρόσσω
νήχεται. ἀλλ' ὀρέγοντα πέλας τρεμέοντα δειρὴν
γλώσσῃσιν μεμάασι περισσαίνειν σκύλακες ὥς
πολλάκι καὶ κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων
ἀμφὶ κυνηγεσίῃσι μένων ἐν τάρφεσιν ἴδης
θηρητὴρ Εὔφορβος ἐρωῇ τῇδε πεποιθώς.
δῶκε γὰρ αἰτομένῳ λίθον ἱρὸν, οὐδέ ποτ' αὐτῷ
ἐκ μάλα τοῦ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη
τέρπετο δ' Εὐφόρβῳ περικαλλεῖ φέρτατος ἀνδρῶν
αἰχμητῇ Μελάνιππος ἀνεψιὸς ἐσθλὸς ἐμεῖο
εἶδος ἀμώμητος, καὶ ἔσκετ' κρατερὸς ὀρείων
αἰζηοῦ ποθέων Δηρυκλυτοῦ, εὐπλοκάμοιο.
τοὔνεκα καὶ μετὰ θῆρας ἀλώμενος, οὔ ποτε νόσφι
ἔσθενεν Εὐφόρβοιο φέρειν ἱκετάονος υἱὸς
ἀλλ' αἰεὶ λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
καγχαλόων κείνοιο μετ' ἴχνια, σύν τε κύνεσσι
ἄστυ, σὺν θ' ἑτάροις, ἔθελέν τε μιν οἶος ἕπεσθαι.
ἦ μὰν κέν μιν πολλὰ πατὴρ μενέαινεν ἐρύκειν
ἀγχαλόων ἑὸν υἷα φίλον θήρεσσι μάχεσθαι.
καὶ Πριάμοιο βίη μιν ἐρήτυεν, οὐδ' ὅγε θυμῷ
πείθετο, τίς κ' ἐθέλοισι τό τ' Εὐφόρβοιο λιπέσθαι.

ῥεῖα γέ μιν ἀέκοντα μέλας ἠρύκακεν ὕδρος
τέρσεν ὑπὸ κνήμης ὀλεσίμβροτον ἰὸν ἐλάσσας
τὸν μὲν ἔτ' ὢ ὀλοώτερος, ἔλλαβεν, οὕνεκ' ἔμελλεν
αὖθι λελείψεσθαι, τὸ ῥά μιν καὶ μᾶλλον ἔτειρεν
δοιοτέρω δ' ὀρέγοντα χέρας ποτὶ γυῖαν ἐμεῖο
αὐτὸς τόδε λίθοιο διαρρίψαντα κέλευσα
λεπταλέην ἄχνην ἐπιπασέμεν ἕλκεϊ λυγρῷ
καὶ ῥα μάλ' αὐτίκα φῶτα κραταιὴ κάλλιπε νοῦσος
τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀφίτην
ὅς τε καὶ οὐταμένοις ἄκος ἥρωσι κομίζειν.
καὶ στέρφαι γυναιξὶ τεκεῖν φίλα τέκνα δίδωσι
ποικίλα γὰρ θνητοῖσι θεοὺς ἔρδειν ἀγοραίω
ὡς καὶ ἐμῆς ποτε μητρὸς ἀβαρβαρέης ἐπακούσας
ἀνδρῶν δὴ μάλα νοῦσον ἐπισταμένης ἀκέσασθαι
βουκολίδης Εὔφορβος ἀγαυοῦ φάσκεν ὀφίτου
φάρμακα, μὴ μοῦνον ὄφιων κατένωπα δύνασθαι
ἀλλὰ καὶ ὀφθαλμοῖσι φέρειν φάος, ἠδὲ βαρεῖαν
ἐκ κεφαλῆς ἕλκειν ὀδύνην, ἤδη δέ τιν' ἀνδρῶν
οὔασι δηθύνοντα κωφήρεα ὦπασεν αὖψα
καὶ δὴ καὶ λεπτῆς ἐριήκοον ἔμμεν' ἀοιδῆς.
ἤδη καί τινα φῶτα χόλῳ χρυσῆς ἀφροδίτης
ἔργα πρὸς ἱμείροντα γάμων ἀμενηνὸν ἐόντα
μιμνῆσθαι φιλότητος ἀκεσσάμενος προΐαλλεν
ἐν πυρὶ δ' εἴ κε βάλοις μιν ὀδωδὴν ἑρπετὰ τοῖο
φεύξεται, οὐδέ τι πω μένει σχεδὸν, οὐδ' ἐνὶ χειῇ.

## ΓΑΓΑΤΗΣ.

ἄγει καὶ κνίσῃσι γαγάτην ὀρνυμένῃσι
φ τείροντα θνητοὺς ἐχεπευκεῖ πάντας
ἀϋτμῇ
χροιῇ δ' αἰθαλόεις, πλατύς, οὐ μέγας ἔλπετ' ἰδέσθαι
κεφαλίῃ δ' ἴκελον πάσῃ φλόγα δ' ἂν ὀρίνει,
αὐτ' ὀλοὸν ποτὶ ῥῖνας ἄγει μένος, οὐδ' ὅγε φῦτας
λύσεται ὧν κ' ἐθέλοις ἑλὼν ἀπὸ νοῦσον ἐρύξαι
γνάμψῃ γὰρ σφέας αἶψα χαμαὶ προπρηνέας ἕλκων
οἱ δ' ἄρ ἀπὸ σφετέρου πεπαλαγμένοι ἄφαρ οἴμοιο
στρωφῶντ' ἔνθα καὶ ἔνθα κυλινδόμενοι κατὰ γαῖαν
τοῖσι δὲ χωομένη φρένα τέρπεται ὁππότ' ἴδῃσι
πήματα πάσχοντας κούρη πόδας ὠκέα μήνη
θηλυτέρῃ δ' εἴκεν πολυφάρμακον ἀμφιβεβῶσα
καπνὸν ὑπὸ σπλάγχνοισι ἀΐσσοντα δέχηται
ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχὼρ
ὅστε γυναικείης νεάτῃ μίμνων ἐνὶ γαστρὶ
κέκλῃται, τότε δ' αὐτὸν ὑπὸ πνοιῇσι λίθοιο
δερκόμενοι γάννυνται, ἄφαρ δόλον ἐκβλύζοντα
νηδύος, ἐκ γὰρ νοῦσον ἀπειρεσίην ἀγινέει
ἄλλα τε πόλλ' ἐπὶ τοῖσι γαγάτην θέσκελα ῥέξειν
οἶδα, σὺ δὲ κνίσῃσιν ἐλαύνων ἑρπετὰ τέρψῃ.

## ΣΚΟΡΠΙΟΣ.

Κορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἔμμε
σ ναι ἥρως
ἀγλαὸς Ὠρίων οὐκ ἔκλυεν, ἢ γὰρ ὀΐω
πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσι
μᾶλλον σφωϊτέρων κεν ἐκεῖνα θελξέμεν ἄστρων.

## ΚΟΡΙΦΩΔΗ·

ὃ δ' ὅτε κορσιόεντα λίθον κλυτὸν εἵνεκα μιχθεὶς
δριμέος ἐκ σκορπίοιο κεράατι ῥεξαντῆρα
ἢ πελιδνῶν ὤκιστα βελέμνων σκορπίος εἵργῃ
τὸν μὲν ἐγὼ κόρσῃ μάλ' ἐοικότα φημὶ βροτείῃ
παύειν, ὀξυτάτῳ τετριμμένον ἄμμιγα βάκχῳ.
ἀμφίπολον θανάτοιο μελαίνης ἀσπίδος ἰὸν
μέζῳ δ' ὅς κεν μίξειν ῥοδόεντι ἐλαίῳ
κάψας ἐκ πυρὸς ὀπὸν, ἐπαυχενίαις ὀδμώδεσι
ἄλκαρ ἄγει. μέλιτος δὲ μετὰ γλυκεροῖο κραθεὶς
ὕδατος ἀπηρὴν ὀλίγης κατὰ γαστέρος ὕλην.
ἥτε καταιγίδην ὑπὸ τέρτβα νηδύος ἀνδρῶν
δαιομένη φέρει ὄγκον ἀεικέα βυβώνεσι·

## ΚΟΥΡΑΛΙΟΝ.

ἐσθλὸν δ' ἀμαλδυνέειν σκορπήια κέντρα
I δεδάασθαι
καὶ πρὸ σπίδαο μένος μέγα κουρα-
λίοιο
ἠδὲ παλαμναίην ἀνεμώλιον ἀσπίδα θεῖναι.
τῷδε δέ μοι πάντων προβιώσιον ὅμα φύονται
φοῖβος ἀκειρεκόμης φύσιν ἔμμεναι ἐξ ἑτέροιο
μυθεῖτ' εἰς ἕτερον στρωφώμενος εἶδος, ὅτις τοι
ψεῦδος κεν φαίη, τὸ δ' ἐτήτυμον ἄρα τέτυχθαι.
χλωρὴ γὰρ βοτάνη πρῶτον φύει, οὐδενὶ γαίῃ
ἣν γε φυτῶν ἴσμεν στερεὴν τροφὸν, ἀλλ' ἐνὶ πόντῳ
ἀτρυγέτῳ, ἵνα φύκ', ἵνα βρύα γίνετ' ἐλαφρά.
αὐτὰρ ἐπεί κ' ἔλθῃσι μαραινομένη ποτὶ γῆρας

ἤτοι μὲν οἱ φύλλα περιφθινύθουσιν ἀφ' ἅλμης
αὐτὴ δ' ἐν βένθεσιν ὑπὸ φλοίσβοιο θαλάσσης
νήχεται, ὄφρα κύματ' ἀποπλύσσοι αἰγιαλόνδε.
ἔνθα δ' ἄρ' ἐξαπίνης μιν ἀνακπνεύσασαν ὑπ' αὔρην
βάζεσ', οἵ περ ἴδοντο κραταιουμένην ὁράασθαι.
δηρὸν δ' οὐ μετέπειτα πάγῳ περιπαχνωθεῖσα
πετροῦται· καὶ χερσὶν ἐκκριθέντα τεῦσι
ἀμφαφάεις λίθον ὃ πρὶν ἔχων ὑγρὸν δέμας ἦεν.
σχῆμα μὲν οὖν βοτάνης ἔτι οἱ μένει οἷον ἔην περ
εἴτε κλάδοι, ὅσα τέ σφιν ἀκρόδρυα προσπεφύασι
ἤ οἱ τ' ἐβλάστησε καὶ ἔτραφεν εἰν ἁλὶ ῥίζα.
φλοιός θ' ὅς περ ἔην φλοιὸς νῦν λαῖνος ἐστί.
τερπωλὴ δήδια θεωμένῳ οὐ φρένα σεῖο
βήσεται, ἐγὼ δ' οὐκ οἶδ' ὅτι μοι θέλγητρον ἰδόντι
αἰὲν ἐπὶ πραπίδας καταλείβεται, οὐδὲ δύνανται
ἔστε κορεσθῆναι θεωμένῳ, ἀλλά με θάμβος
σαίνηται στέρνοισιν ὀϊομένῳ τέρας εἶναι
καὶ οἱ πιστεύων περ ἔολπά μιν εἶναι ἄπιστον
ἀλλά τε γοργείην μὲν ἐτώσιον ἀνθρώποισι
σμερδαλέην κεφαλὴν φάτις ἔμμεναι· οὐδ' ἄρα πρόσθε
ὠκυπέτης πέλεται, ψευδὴς τέρας ἠγήσασθαι,
γοργόνα γὰρ περσηίδα δρακοντοέθειραν ἀκούεις
ἄτλαντος νεάτοισιν ὑπὸ κρημνοῖσι δαμῆναι
παρθένον ἀργαλέην ἐριβώπιδα κῆρα μέλαιναν
ἀνθρώπων οἷσιν κεν ἐπ' ἀνδροφόνῳ βάλεν ὄσσε
οἵ μιν δεῖμα πέλωρον ἀνάχετον ἀθρήσαντες
αὔσῃ λαῖνοι τεθνειότες ἑστήκασιν
οἷον δ' οὔτ' εὐρύστερνος ἐναντίον ἀζυτώνη
δέρκεσθαι μενέαινεν ἀδείμαντός περ ἐοῦσα
χρυσαόρῳ περσῆι φοινομένην περ ἰδέσθαι

ὅττι κασιγνήτω κέκλετο κρατερόφρονι φωτί.
ἀλλὰ δόλῳ θήρειον, ἀφαρπάξασιν αὐχένα κούρης
ἧκε μάλ' ἐξόπιθε γαμψώνυχον οὐ προϊδούσης
ἀμφιβαλὼν ἅρπην κυλλὴν ἰδὲ λαχνήεσσι.
πῶς δ' ἄρα καὶ φθιμένης περ ὀλέθριος ἔσκεν ὀπωπὴ
καὶ συγγοῦ κρονίδαο μολὴν ὑπὸ δῶμα κελαινὸν
πολλοῖς αἴσιμον ἔπλετ' ἐναιρομένης ὑπὸ νεκρῆς.
ἀλλὰ τότ' αἰγιαλόνδε φόνῳ πεπαλαγμένος ἥρως
ἐλθὼν σπεῦδε λύθρον ἀποκλύζειν θαλάσσης
θερμὴν ἐξ ὁμάδου κεφαλὴν ἔτι καὶ προμένουσαν
γοργείην κατέθηκεν ἐπὶ χλοεραῖς βοτάνῃσι
ὄφρα δ' ὅγε δίνῃσιν ἀπεψύχεσκε θαλάσσης
στείχων ἐκτ' ὀλοοῖο πόνου δολιχῆς τε κελεύθου
τόφρα δὲ πορφυρέοιο διαινόμενοι κορέσαντο
αἵματος, οἵ ῥα κέχυντο χαμαὶ ὑπὸ κράατι θάμνοι.
ἀμφὶ δ' ἄρα σφιν αἶψα θοαὶ πόντοιο θύγατρες
λύθρον ἐπαυρόμεναι θάμνοις περιπήγνυον ὧραι.
πήγνυον δ' ὥς τέ σε πάγχυ λίθον στερεὴν εἴσασθαι.
οὐδέ τ' ἔην εἴσασθαι, ἐπεὶ στερεὴ λίθος ἦεν
ἐκ δ' ὄλεσεν βοτάνης ὑγρὸν δέμας, ἀλλὰ καὶ ἔμπης
ὀλομένης πάμπαν βοτάνης οὐκ ὤλεσεν εἶδος.
τὴν μὲν ἄρα χροιὴν ἐξ αἵματος ἔσχεν ἐρυθρὴν
ἀμφασίη δ' ἥρωα λάβεν ἄγρια σῶν, ὡς ἐνόησε
ἐξαπίνης μέγα θαῦμα, τὸ καὶ πέλας αἶψα κιοῦσα
διογενὴς πολύμητις ἐθαύμασεν ὀβριμοπάτρη.
θῆκε δ' ἀδελφειοῦ κλέος ἄφθιτον, ὥς κε πέλοιτο
αἰὲ κουραλίῳ προτέρην φύσιν ἀμαύεσθαι
ἐν δὲ βίην οἱ δῶκεν ἀπειρεσίην ἀγαλλῆ
φῦλλα φυλασσέμεναι κρυφὴν εἰς φύσιν ἰόντα.
ὃν δολιχὴν ἕρπων διὰ ἀταρπιτὸν εἴ μιν ἔχοι τις

ἢ πρᾶσιν ἄλλα δίαν ἐϋσέλμῳ ἐπὶ νηὶ
καὶ γὰρ ἐνυαλίοιο θοὸν δόρυ μαινομένοιο
καὶ χόλον ἀνδροφόνον φεύγειν ἄπο ληιστήρων
καὶ πολιὸν γηρᾶ κυκώμενον ἐξυπαλύξαι
ἐσθλὴ κουραλίοιο βίη θνητοῖσιν ὀπάσσαι.
γλυκεῶ δ' ἐχρενύδιμον ἀτέρβεα ῥιγήνειαν
σφωϊτέρων καμάτων ἐπαμύντορα κικλήσκουσιν
φάρμακα δ' ὅσσα πέλονται ἀτάσθαλα, καὶ κατάδεσμοι
ἀραί τ' ἀγναμπτοῖσιν ἐριννύσι πάγχυ μέλουσαι
εἴτε μῖσος κακόων οἰκοφθόρον οὐκ ἐνόησεν
ἀνήρ, εἴθ' ὅσα λύματ' ἐπὶ σφίσιν, ἠδ' ἐπαοιδὰς
σχέτλιοι ἀλλήλοισιν μεγαίροντες τελέθουσι
πάντων ἀντίλυτρον δήοις κρατερώτατον εἶναι.
κόψας δὲ σωτῆρον ξανθῇ δημήτρι μίσγων
καί τοι λοιπὸν ἅπαντα τεῆς ἀπάνευθεν ἀρούρης
αὐχμούς τ' ἐξελάσει, σταχύων γλάγος ἐκ πίνοντας.
ἀτηρήν τε χάλαζαν ἀπειρεσίοισι βελέμνοις
ἀγρῷ ῥαῦμα φέρουσαν ἀμήχανον ἐξακέσασθαι.
βρωτήρων τ' ἐπὶ τοῖσι γένος πάντων ἀλαπάξει.
ἀλκάς τε, κάμπας τε καὶ ἐθβίην ἐρυσίβην.
ἥ τε κατ' οὐρανόθεν πεπαμένη ποτὶ καρπὸν ἐρυθρὴ
ἀμφὶ περὶ σταχύεσσι περισμύχουσα κάθηται
ἔκ τε μυῶν ἀγέλας, ἔκ τ' ἀκρίδος ἄπλετον ἔθνος
ῥαίσει, καὶ κρονίδαο παραΐσσουσι κεραυνοί.
παιδὸς ἑοῦ κλέος οὔτοι ἐτήσιον ἀζομένοιο.
κεῖνο πολὺ πρώτιστον ἀνερχομένοις περάτηθεν
κουράλιον θνητοῖσι φέρων πόρεν ἀργειφόντης
τιμὴ δ' ἀκρήτοιο μετ' οἴνου πινέμεν αἰεὶ
μέμνεο· παιωνιδᾶν ἕνεκ' ἀσπίδος ὥς περ ἔειπον

## ΑΧΑΤΗΣ.

Αἰ πολυειδέα κινεῖ μετ' ἀκρήτοιο βρόμοιο
μορφὴν παντοίην ἐπιειμένον ἐσθλὸν ἀχάτην
π πολλὰ γὰρ ὅσσα ῥέα γ' ἐστὶν ἀχάτου χρώματ'
ἰδέσθαι
ἐν γάρ οἱ δήεις ὁρόων ὑάλωπιν ἴασπιν
σάρδιά θ' αἱματόεντα, καὶ αἰγλήεντα μάραγδον.
ἐν δ' ὄγε μιλτοπάρηος, ἀτὰρ καὶ χαλκὸν ἐν αὐτῷ
δήεις· καὶ χροιὴν ἐαρωτρεφέος μήλοιο.
ἀλλ' οἷος πάντων προφερέστατος, εἴ κέ μιν εὕροις
εἶδος ἔχοντα δαφοινὸν ἀμαιμακέτοιο λέοντος,
τῷ καί μιν προτέροισι λεοντοδέρην ὀνομῆναι
ἥνδανεν ἢ μαθέεσσι κατάστικτος ποικίλλαι
πυρσαῖσιν, λευκαῖς τε, μελαινομέναις, χλοεραῖς τε
τόν δ' εἰ σκορπίην ὀλοφυρόμενός τις ἀκωκὴν
ἔλθοι ἀρτάζειν περὶ ἕλκεϊ κέκλετο λυγρῷ
ἤ μιν ἐπιπάσσειν. ἀπὸ γὰρ μινύθουσιν ἀνίαι
ἐμβρότεντε γυναιξὶ δαωήσεται ἀνέρα θῆναι
καὶ θέλξεις μύθοισι βροτοὺς, καὶ πάντα κομίζων
ἄνα μιν αἰτήσειας ἀφίξεαι οἴκαδε χαίρων.
καὶ νούσῳ κάμνοντα σαωθῆναι θέμις ἐστί.
ὅς μιν ἐπὶ σφετέρῃσι λαβὼν χέρεσι κατάχοι
δέξεσθ' οὔτοι τόν γε βιωσέμεν ἀρνήσοιτο
ἀλλὰ νοεῖς σὺ τέρψιν ἐπὶ φρεσὶν, οὕνεκεν αὐτῷ.
ῥῆξε λίνον κλωθὼ, τῷ δ' ἔρχεται ὕστατον ἦμαρ.

## ΕΤΙ ΓΕΡΙ ΤΟΥ ΑΧΑΤΟΥ.

ὑδὲ πυριφλεγέθων ἐτερήμερος ἄνδρα
ο θαμίζων
ἢ κρυβὸς μάρπτων πυρετὸς παρ' ἄδην θέρσει

καὶ τεταρταίης πῆμα βραδὺ μήποτε λήγειν
βουλομένης, ἀλλὰ ἐν ὅτῃ πελάσῃσι μενούσης
ἣν σὺ γ' ἰήσασθαι δι' ἀμύμονος αὐτίχ' ἀχάτου
οὔτις γὰρ προτέρων πολὺ φέρτερος, αἶψα δὲ σῶμα
ἐξερύει τό περ ὦκα βίην δείκνυσι λίθοιο.
ἐν γάρ μιν κρεάεσσι βαλὼν μέσῳ ἑψομένοισι
τυτθὸν ἀναχέεσθαι, τὰ δὲ τήκεται ἔνδοθι πάντα.

## ΕΤΙ ΠΕΡΙ ΑΥΤΟΥ.

οὐ μέντοι καὶ τόνδε γεραίτερα φημὶ
δύνασθαι
ἀλλ' ἕτερον δώσω χατέοντί τοι ἔμπης.
οὐρανόθεν γεγαῶτα, σὺ δ' ἐν φρεσὶ βάλλεο σῇσι
εὖτε γὰρ αἰγλῆεν σφέτερον δέμας εὐρύστερνος
οὐρανὸς ὠμηστῆρος ὑπαὶ παλάμῃσι κρόνοιο
δηωθεὶς ἔλυξεν ἀπειρεσίην ἐπὶ γαῖαν
αἰθέρος ἐκ δίνης πισέεν ὁ δ' ἄσσε μετωπῶν
ὄφρα κε πάντ' ἀΐδηλα πολύτροχον ἀμφιπετάσσας
νῶτον ἑὸν τάξει, μὴν δ' οὐρανοῦ ἀστερόεντος
θυμὸν ἀνήσας κρόνος οὐρανὸν εἰσέτι ναίει
δὴ τότ' ἀμβροσίοιο κατειβόμεναι φορέοντο,
αἵματος ὠτειλῆθεν ἐπὶ προφερὴν ῥαθάμιγγες
τὰς οὐ μόρσιμον ἦν ἀπ' ἀθανάτοιο κιοῦσας·
σώματος ὄλλυσθαι μενέμεν δ' ἐριβώλακι μοῖραι
ἐν γαίῃ προγένοιο θεῶν σέον αἷμα κέλοντο
μιμνέμεν ὅσσου αὖον δὲ περίγληνοι θέσαν ἵπποι
ἠελίου, καὶ κέν τις ἐπιψαύων ἐρίσσῃ
λᾶαν ἔχειν ἐνὶ χερσὶν, ἔχει δέ μιν αἷμα πεπηγὸς
ἐν γὰρ δὴ χροιῆς αὐτὸς ἐπώνυμος αἵματος ἐστὶν
ἢν δὲ καὶ ὕδατι ῥεῖα δαμασθεὶς ἀφρικὸς αἷμα

γίνεται, αἱματόεις δὲ καὶ οὔνομα λᾶας ἐπ' ἀνδρῶν
ἐκ προτέρων κέκληται, ἀκήρατα δ' ὥς ἐπίοιμι
φάρμακ' ἔχοι, νημερτὲς ἀπόῤῥοιάν κεν ἀοιδοὶ
οὐρανίην, καλέουσιν· ὃν ἀνθρώπους ἀφικέσθαι
οὐ γὰρ ὅγ' οὔτε νέην ἐθέλει θνητοῖσιν ὀΐζυν
ἔρχεσθαι προτὶ ὄσσε παλαιοτέρην τ' ἀπερύκει
μιγνύμενος λευκοῖο μετὰ γλάγεος, κεράσας τε
ἰχῶρι σφετέρῳ γλυκερῷ μέλιτι δ' ἰάνας
ἐκ βλεφάρων ἀπὸ πᾶσαν ἄγει νόσον, ἀχαλὰς γὰρ
εἴργεσθαι θνητοὺς ὁράαν ἐρατεινὰ πρόσωπα
πρεσβυτάτου μακάρων στροβιλοβλεφάρου βασιλῆος
καὶ γλήναισι τεῇσιν ὁμιλήσας κυλίκεσιν
ἀνδρός τ' αἰδοίων ἄκος ἔσσεται, ὅς κε πίησι
καί μιν ἐγὼν αἴαντι δαΐφρονι πόλλ' ἐπέτελλον
ἔντεσι δηριθῆναι ἀμύμονος ἀμφ' ἀχιλῆος
ἐσσυμένῳ νίκης, ἐπ' ὀρηγόντα χερσὶ κομίζειν
καί κεν ὀδυσῆος ταλασίφρονος ἀντίον αὐτῷ
κῦδος ἀθηναίη περσέπτολις ἐγγυάλιξεν.
ἀλλ' ἤ οἱ μοῖρ' ἔσκε παραιφαμένοιο πιθέσθαι
τοὔνεκα θεσπέσιόν μοι ἀθέριξεν ὄνειαρ
λάζετο δ' ὀλοὸν ἄορ, ἀτὰρ σύ γε τοῖο μὲν αἶσαν
ἅζεο, πρὸς δὲ μέλαιναν ὀλεθηροῖο γενέθλην
ἑρπετὰ αἱματόεντα δαεὶς λίθον, αἰὲν ἑταίρους
πινέμεναι νύμφαις ἐπὶ νηιάδεσσι κέλευε
καὶ μὲν ἐγὼ λαιψηρὸν ἐμὸν θεράποντα δόλωνα
αὐτοκασιγνήτῳ μεμαὼς φίλον ἕκτορι θεῖναι
πρόφρων ὤπασα λᾶαν ὀλύμπιον αἰτήσαντι
αὐτὰρ ὅγ' ἐξαπίνης ζώων προπάροιθεν ἁπάντων.
ἕκτορι, παιδί τ' ἐμῷ κεχαρισμένος ἔπλεθ' ἑταῖρος
τοῖο δ' ἕκητί μ' ἐκεῖνος ἀμοιβαδὸν ὀρίνασθαι
ἱέμενος, λιπαραῖον ἐπίκλησιν παρὰ πατρὸς

ὤπασεν ἀφνειοῖο λαβὼν λίθον, ὅν ποτ' ἄρ' αὐτῷ
ἐλθὼν Ἰλιόθεν κρατερὸν μετὰ Μέμνονα κῆρυξ
σήματ' ἐμεῖο παρόντος ἀναιρῶν ἀσυρίηθεν
χρυσοῦ τιμήεντος ἀρείονα δῶρο κόμισσε
μυρία κεῖθι μάγοισι πορὼν πολυΐδμοσι δῶρα
εἰ δ' ἄγε δέχνυσο μῦθον ἐγὼ δ' ἐδάην τά κε λέξω.
πρῶτα μὲν οὖν σπένδοντας ἀναιμάκτων ἐπὶ βωμῶν.
οὐ γὰρ ἄγειν θέμις ἐστὶ θυηλὴν ἐμψύχοιο
ἥλιον εὐρύοπα κληΐζειν ὑμνοῦσιν ἄνωγα,
καὶ χθόνα πίειραν πάντων τροφὸν οὐθατόεσσαν.
δεύτερον αὖτ' αἴθωνος ὕπερ λίθον Ἡφαίστοιο
τήκειν, ἣ δείη ταναοὺς θέλγοντα δράκοντας
ὀδμῇ τὴν ἄρα κεῖνοι ἀνερχομένην ἐσορῶντες
ἐρχόμενοι ποτὶ βωμὸν ἀολλέες ἐκπρομολόντες
χηραμόθεν ὁρόωνται ἐφερπύζοντες αὖτ μὴν
αὐτὰρ ἐπεὶ τὰ λίνοιο νεόπλυτα φάρεα κοῦροι
ἑσσάμενοι τρεῖς, ὀξὺ φέρων ἀμφήκεος ἕκαστος
ἄορ, ἀναρπάζειν ὄφιν αἰόλον, ὅς κε μάλιστα
κνίσης ἱμέρων πυρὸς ἐγγύθι δινεύεσκε·
τὸν δὲ διαμελεϊστὶ δαΐζειν ἐννέα μοίρας
τρεῖς μὲν ἐπικικλήσκειν πανδερκέος ἠελίοιο
τρεῖς δ' ἑτέρας γαίης ἐριβώλου λαοβοτείρης
τρεῖς δὲ θεοπροπίης πολυΐδμονος ἀψαόστοιο.
τὰς δὲ λέβης κεράμοιο τετυγμένος αἱματοέσσας
δεξάσθω, καὶ δῶρον ἐλαίνου ἀρυταίνης
ἡ δὲ μέθυ βρομίοιο καλλιχόρου καταχεύειν
ἐν δ' ἄλλας ἀργεννοὺς βαλέειν θεράποντας ἐδωδῆς
ἐν δέ σφι καὶ δρυμῶν ἐπήλυδα κόκκον ἄνωγα
μίξαι χρυσοχίτωνα, μελαγχροίην, ἐρίτιμον
ἐν δὲ καὶ ὅσσα τὰ ἄλλα μετ' ἀλλήλοισι μιγέντα
ἵμερον ἐμπνείουσιν ἐδητύος ἀνθρώποισι

ὄφρ' ἤδ' ἐπὶ ῥίνοιο κριὸς γαστέρι δάμναται ἐόντα
τόφρα δὲ κικλήσκειν μακάρων ἄῤῥητον ἑκάστου
οὔνομα· τέρπονται γὰρ ἐπήν κέ τις ἐν τελετῇσι
μυστικὸν ἀείδῃσιν ἐπώνυμον οὐρανιώνων
δρᾶσθαι δὲ μάγειραν ἀπόπροθι παφλάζοντος
σαιέμεναι ῥίνοιο κακομήχανον, ὃν δ' ἄρα τούς γε
πῶμα διιπετὲς ἔνδον ἄγει ἱρὰς ἐπὶ μοίρας
ὁππότε δ' ἑψομένοισιν ἐπὶ κρεάτεσσιν ἵκωνται
δαίνυσθαι τότ' ἔπειτα κορέννυσθαι μεμαῶτας
αὐτόθεν ἐκ ῥίνοιο, τὰ δὲ λείψανα γαῖα καλύπτοι
καί σφιν ἐπισπεῖσαι λευκὸν γάλα, καὶ μέθυ ἡδὺ
καὶ λίπατ', ἐραὸν αὖτε μελίσσης αὔθιμον εἶδαρ.
καὶ στέψαι πλέξαντας ἀκρόδρυα καρποφόροιο
παρθενικῆς ἀφελόντας ἐλαίης, μὴ δὲ κορέωνης
σφωιτέροις πέπλοις ἑλέειν οἴκονδε κιόντας
μηδὲ μεταστρωφᾶσθαι, ἐπεί κ' ἀπονόσφι ῥάπισθε
αἰκ' ἀεὶ προτέρην ὁδὸν ἄσπαστον ὅμως φέροντες
ἔρχεσθ' ὃν μέγαρον, μὴ δὲ προτιμυθήσασθαι
εἴ κέ τις ξύμβληται ὁδίτης, ἐς τ' ἂν ἵκεσθαι
ὃν δόμον. ἔνθα δ' ἔπειτα θυηλὰς ἀθανάτοισιν
ἐξαῦτις ῥέζοντας δρώματα ποικίλα καίειν.
ταῦτ' ἐγὼ ἐκτελέσας ὅσα τ' ἴαυται ὅσσα τε κῦφοι
ὄρνιθες κλάζουσιν ἐπίσταμαι. ὅσσα τε θῆρες
οἱ μηκαί τε ῥάπιζοι ἐν σφίσιν ὠρύονται.

## ΝΕΥΡΙΤΙΣ.

Ἔνθεν ἐγὼν ἰδμὴν καὶ βακχιάδα νευρίταο
δῶρα λίθου βρομίῳ κεχαρισμένα, τόν περ ἔχοντες
ἄνθρωποι θύοιτε, καὶ δράκων ἀΐουσιν
οὐρανίδαι. γυμνῷ δὲ ῥάχιν ποδὶ πανκεδανοῖο

ἤ κεν τοι θλίψας ἔφιος διὰ σάρκας ἀκάνθη
δηώσοι, σφετέρας ἐδωδῆς φαρμάκους ἴανται αὐτῷ
ναρίτις, ἔρδε δ' ἀλόχῳ πόσιν ἐμβάοντα
ἔνθεν καὶ κατένωπα μελαίνης ἀσπίδος ἔγνων
καρτερὰ φάρμακα σεῖο βροχαοῦ θέσκελα πέτρη
τῆς ὄνομα χροιήτε πέλει χλοεροῖο πράσοιο.

## ΧΑΒΑΖΙΟΣ.

Ἔνθεν καὶ σέο δῖε χαβάζιε πειρηθῆναι
ἐν θυμῷ βαλόμην, καὶ σοῦ μένος ὤρον ἄριστον
ἄμφω γὰρ, καὶ νοῦσον ἀναψύχεις πυρόεσσαν
καί μοι σκορπιόεν βεβολημένῳ ἦρα κομίζεις
ἀντιόων, σέο μέχρις ἐμοῦ ποιάντιος ἥρως
θαυμένος τάσδε πάντα ἀμήχανα φησὶ πιφάσκειν
αὐτοκασιγνήτην κεχολωμένος ἀργυρότοξος
καὶ ἀνάσσων ἐκέλευσεν ἀκηδέντεσσιν ἅπαντα
θεσπίζειν ῥῶσαι ἐπήτυμα τῶ φρονέουσαν·
αὐτὰρ ἐγὼ καὶ πρόσθεν ἀπώμοσα καρτερὸν ὅρκον
ψευδέα μήποτε μῦθον ἐνισπεῖν ἀνθρώποισι
καὶ νῦν ἀτρεκέως μάλα τοι λέξαντος ἕκαστα
ἡμετέροις ἥρως ἐκηβόλε πείθεο μύθοις
ὣς ἄρ' ἔφη πριάμοιο διοτρεφέος φίλος υἱὸς
ἀρίστου θεράποντι φέρων χάριν ἡρακλῆος
νῶϊ δὲ ποιήσαντε ἀμφῶρξαν ἴυσι
ῥηχθεῖαν μάλα μῦθοι ἀταρπιτὸν ἐπρήϋναν.

ΤΕΛΟΣ.

VENETIIS IN AEDIBVS AL
DI ET ANDREAE SOCERI
MENSE NOVEMBRI
M.D.XVII.
a b c d e f g h i k Omnes quaterniones.

AL DVS

80 ff.

2 almost full-page woodcuts and printer's device on title and on last p.

32072